This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`


HN 5Z7B C
Digitized by Google

~~Dix 9.1444~~ KC16123

Harvard College Library.

THE PARKMAN COLLECTION.

BEQUEATHED BY

FRANCIS PARKMAN,
(H. C. 1844).

Received January 17, 1894.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

XENOPHON.

Digitized by Google

Digitized by Google

XENOPHONTIS

QUAE EXSTANT

OPERA,

GRAECE & LATINE,

EX EDITIONIBUS

SCHNEIDERI ET ZEUNII.

ACCEDIT

INDEX LATINUS.

TOM. VIII.

EDINBURGI:
E PRELO ACADEMICO.
IMPENSIS GULIELMI LAING.

MDCCCXI.

Digitized by Google

KC16123
Gx9.1444

Harvard College Library,
Bequest of
FRANCIS PARKMAN.
17 Jan. 1894.

Digitized by Google

ΞΕΝΟΦΩΝΤΟΣ

ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ

ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΚΕΦ. Α.

Πολλακις ἐθαύμασα, τίσι ποτὲ λόγοις Ἀθηναίους ἔπεισαν οἱ γραψάμενοι Σωκράτην, ὡς ἄξιος εἴη θανάτου τῇ πόλει. ἡ μὲν γὰρ γραφὴ κατ' αὐτοῦ τοιάδε τις ἦν· Ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεοὺς, οὐ

XENOPHONTIS

MEMORABILIUM

LIBER PRIMUS.

CAP. I.

Saepenumero miratus sum quibus tandem argumentis accusatores Socratis Atheniensibus persuaserint, eum de civitate mortem meruisse. Nam accusatio instituta adversus eum hujuscemodi fere erat: Agit injuste Socrates, quod

Digitized by Google

νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσφέρων ἀδικεῖ δὲ, καὶ τοὺς νέους διαφθείρων. Πρῶτον μὲν δὴν, ὡς οὐκ ἐνόμιζεν, οὓς ἡ πόλις νομίζει θεοὺς, ποίῳ ποτ' ἐχρήσαντο τεκμηρίῳ; θύων τε γὰρ φανερὸς ἦν, πολλάκις μὲν οἴκοι, πολλάκις δὲ ἐπὶ τῶν κοινῶν τῆς πόλεως βωμῶν· καὶ μαντικῇ χρώμενος οὐκ ἀφανὴς ἦν. διετεθρύλλητο γὰρ, ὡς φαίη Σωκράτης, τὸ δαιμόνιον ἑαυτῷ σημαίνειν. ὅθεν δὴ καὶ μάλιστά μοι δοκοῦσιν αὐτὸν αἰτιάσασθαι καινὰ δαιμόνια εἰσφέρειν. Ὁ δὲ οὐδὲν καινότερον εἰσέφερε τῶν ἄλλων, ὅσοι μαντικὴν νομίζοντες, οἰωνοῖς τε χρῶνται καὶ φήμαις καὶ συμβόλοις καὶ θυσίαις. οὗτοί τε γὰρ ὑπολαμβάνουσιν, οὐ τοὺς ὄρνιθας, οὐδὲ τοὺς

Deos non ducat, quos civitas ducit, alia vero nova Numina introducat: Praeterea injuste agit, quod et adolescentes corrumpat. Primum igitur, quod Deos non duceret, quos civitas ducit, quo tandem argumento sunt usi? Etenim palam sacrificabat, saepe quidem domi, saepe communibus in aris civitatis; nec divinatione clam utebatur. Erat enim pervulgatum, dicere Socratem, Numen sibi hoc aut illud significare: ex quo certe vel maxime mihi videntur de introductis novis Numinibus illum accusasse. At Socrates nihil magis novi introduxit, quam alii, qui divinationem esse statuentes, et auguriis et ominibus et praesagiis et sacrificiis.

Digitized by Google

ἁπαντῶντας εἰδέναι τὰ συμφέροντα τοῖς μαντευομένοις, ἀλλὰ τοὺς θεοὺς διὰ τούτων αὐτὰ σημαίνειν· κἀκεῖνος οὕτως ἐνόμιζεν. Ἀλλ' οἱ μὲν πλεῖστοι φασὶν ὑπό τε τῶν ὀρνίθων καὶ τῶν ἁπαντώντων ἀποτρέπεσθαί τε καὶ προτρέπεσθαι· Σωκράτης δ' ὥσπερ ἐγίγνωσκεν, οὕτως ἔλεγε. τὸ δαιμόνιον γὰρ ἔφη σημαίνειν, καὶ πολλοῖς τῶν ξυνόντων προηγόρευε, τὰ μὲν ποιεῖν, τὰ δὲ μὴ ποιεῖν, ὡς τοῦ δαιμονίου προσημαίνοντος. καὶ τοῖς μὲν πειθομένοις αὐτῷ συνέφερε, τοῖς δὲ μὴ πειθομένοις μετέμελε. Καίτοι τίς οὐκ ἂν ὁμολογήσειεν αὐτὸν βούλεσθαι μήτ' ἠλίθιον, μήτ' ἀλαζόνα, φαίνεσθαι τοῖς συνοῦσιν; ἐδόκει δ' ἂν ἀμφότερα ταῦτα, εἰ προαγορεύων ὡς ὑπὸ θεοῦ

---

utuntur: existimant enim illi nec aves, nec obviantes scire quid ex usu sit divinantibus, sed horum opera Deos significare: quod etiam putabat Socrates. At vulgus quidem se ab avibus ac obviis vel dissuaderi vel persuaderi asserit. Socrates autem dicebat id quod et sentiebat. Aiebat enim Numen omnia significare, multisque familiaribus praenuntiabat, ut haec facerent, omitterent illa, tanquam Numine sibi ea praedicente. Et his, qui ei parebant, conducebat; qui vero non, illos poenitebat. Quis vero non fateatur, noluisse Socratem vel stolidum vel arrogantem apud eos videri, qui consuetudine ipsius utebantur? Utrumque

Digitized by Google

φαινόμενα, καὶ ψευδόμενος ἐφαίνετο. δῆλον οὖν, ὅτι οὐκ ἂν προέλεγεν, εἰ μὴ ἐπίστευεν ἀληθεύσειν. ταῦτα δὲ τίς ἂν ἄλλῳ πιστεύσειεν ἢ θεῷ; πιστεύων δὲ θεοῖς, πῶς οὐκ εἶναι ἐνόμιζεν;

Ἀλλὰ μὴν ἐποίει καὶ τάδε πρὸς τοὺς ἑταιρικοὺς. τὰ μὲν γὰρ ἀναγκαῖα συνεβούλευε καὶ πράττειν, ὡς ἐνόμιζεν ἄριστ' ἂν πραχθῆναι· περὶ δὲ τῶν ἀδήλων, ὅπως ἀποβήσοιτο, μαντευομένους ἔπεμπεν, εἰ ποιητέα. Καὶ τοὺς μέλλοντας οἴκους τε καὶ πόλεις καλῶς οἰκήσειν, μαντικῆς ἔφη προσδεῖσθαι. τεκτονικὸν μὲν γάρ, ἢ χαλκευτικὸν, ἢ γεωργικὸν, ἢ ἀνθρώπων ἀρχικὸν, ἢ τῶν τοιούτων

---

certe videbatur in eum cadere, si quid tanquam a Deo indicatum praenuntiasset, ac palam mentitus esset. De quo patet eum nihil praedicturum fuisse, nisi vera se dicturum credidisset. Quis autem alteri fidem in his habeat, quam Deo? Jam qui Diis fidem habebat, quomodo Deos non esse putabat?

Enimvero faciebat haec quoque ad familiares. Res necessarias agere consulebat, quemadmodum ea fieri putarent optime; verum de iis quorum incertus esset eventus, oracula consultum mittebat suos, an suscipienda essent. Addebat, eos, qui praeclare domos et urbes administraturi essent, arte divinandi egere. Namque ut artis aedificandi, aut fabricandi, aut agrum colendi, aut hominibus imperandi, aut hujus-

Digitized by Google

ἔργων ἐξεταστικὸν, ἢ λογιστικὸν, ἢ οἰκονομικὸν, ἢ στρατηγικὸν γενέσθαι, πάντα τὰ τοιαῦτα μαθήματα καὶ ἀνθρώπου γνώμῃ αἱρετέα ἐνόμιζεν εἶναι. Τὰ δὲ μέγιστα τῶν ἐν τούτοις ἔφη τοὺς θεοὺς ἑαυτοῖς καταλείπεσθαι, ὧν οὐδὲν δῆλον εἶναι τοῖς ἀνθρώποις. οὔτε γὰρ τῷ καλῶς ἀγρὸν φυτευσαμένῳ δῆλον, ὅστις καρπώσεται· οὔτε τῷ καλῶς οἰκίαν οἰκοδομησαμένῳ δῆλον, ὅστις οἰκήσει· οὔτε τῷ στρατηγικῷ δῆλον, εἰ συμφέρει στρατηγεῖν· οὔτε τῷ πολιτικῷ δῆλον, εἰ συμφέρει τῆς πόλεως προστατεῖν· οὔτε τῷ καλὴν γήμαντι, ἵνα εὐφραίνηται, δῆλον, εἰ διὰ ταύτην ἀνιάσεται, οὔτε τῷ δυνατοὺς ἐν τῇ πόλει κηδεστὰς λα-

---

modi opera examinandi, aut rationes ineundi, aut rem domesticam administrandi, aut exercitum ducendi quis peritus evadat, omnes hujusmodi disciplinas etiam ab hominis consilio eligendas esse censebat. Quae autem in his essent maxima, Deos sibi aiebat reservare, eorumque nihil hominibus certum esse. Nec enim constat ei, qui agrum pulchre conserit, quisnam fructum sit percepturus; nec qui pulchre domum aedificat, quis eam sit habitaturus; nec duci, an exercitum ducere expediat; nec perito rerum civilium, an ex usu futurum sit, ut civitati praesit; nec qui formosam ducit, ut laetetur, an propter hanc dolorem sensurus sit; nec qui potentes in civitate affines adeptus est, an propter hos

Digitized by Google

ὄντι δῆλον, εἰ διὰ τούτους στερήσεται τῆς πόλεως. Τοὺς δὲ μηδὲν τῶν τοιούτων οἰομένους εἶναι δαιμόνιον, ἀλλὰ πάντα τῆς ἀνθρωπίνης γνώμης, δαιμονᾶν ἔφη· δαιμονᾶν δὲ καὶ τοὺς μαντευομένους, ἃ τοῖς ἀνθρώποις ἔδωκαν οἱ θεοὶ μαθοῦσι διακρίνειν· οἷον, εἴ τις ἐπερωτῴη, πότερον ἐπιστάμενον ἡνιοχεῖν ἐπὶ ζεῦγος λαβεῖν κρεῖττον, ἢ μὴ ἐπιστάμενον· ἢ πότερον ἐπιστάμενον κυβερνᾶν ἐπὶ τὴν ναῦν κρεῖττον λαβεῖν, ἢ μὴ ἐπιστάμενον· ἢ ἃ ἔξεστιν ἀριθμήσαντας ἢ μετρήσαντας ἢ στήσαντας εἰδέναι, τοὺς τὰ τοιαῦτα παρὰ τῶν θεῶν πυνθανομένους ἀθέμιστα ποιεῖν ἡγεῖτο· ἔφη δὲ δεῖν, ἃ μὲν μαθόντας ποιεῖν ἔδωκαν οἱ θεοὶ, μανθάνειν· ἃ δὲ μὴ δῆλα τοῖς ἀνθρώποις

---

civitate sit exulaturus. Horum omnium si qui nihil ad Numen referant, sed universa potius ad hominis consilium, furere dicebat. Itidem illos etiam aiebat furere, qui per divinationem explorarent ea, de quibus discernendis data est hominibus discentibus a Diis facultas: veluti si quis consulat, utrum moderandi currus peritum, an imperitum praestet in vehiculum recipere: vel gubernandi peritum in navem recipere praestet, an imperitum. Quae item homines numerando, vel metiendo, vel ponderando scire possunt, ea qui a Diis quaererent, nefarie ducebat agere: et quae doctrina percipi Dii voluerunt, discere homines oportere dice-

Digitized by Google

ἐστὶ, πειρᾶσθαι διὰ μαντικῆς παρὰ τῶν θεῶν πυνθάνεσθαι· τοὺς θεοὺς γὰρ, οἷς ἂν ωσιν ἵλεῳ, σημαίνειν.

Ἀλλὰ μὴν ἐκεῖνός γε ἀεὶ μὲν ἦν ἐν τῳ φανερῳ̃. πρωΐ τε γὰρ εἰς τοὺς περιπάτους καὶ τὰ γυμνάσια ἤει, καὶ πληθούσης ἀγορᾶς ἐκεῖ φανερὸς ἦν, καὶ τὸ λοιπὸν ἀεὶ τῆς ἡμέρας ἦν, ὅπου πλείστοις μέλλοι συνέσεσθαι· καὶ ἔλεγε μὲν ὡς τὸ πολὺ, τοῖς δὲ βουλομένοις ἐξῆν ἀκούειν. Οὐδεὶς δὲ πώποτε Σωκράτους οὐδὲν ἀσεβὲς, οὐδὲ ἀνόσιον, οὔτε πράττοντος εἶδεν, οὔτε λέγοντος ἤκουσεν. οὐδὲ γὰρ περὶ τῆς τῶν πάντων φύσεως, ἥπερ τῶν ἄλλων οἱ πλεῖστοι, διελέγετο, σκοπῶν, ὅπως ὁ καλούμενος ὑπὸ τῶν σοφιστῶν κόσμος ὑπ' ἀνάγκης ἕκαστα τῶν ἐν τῳ οὐρανῳ̃ συντελεῖ· ἀλλὰ καὶ τοὺς διατρίβοντας περὶ ταῦτα ἐμέμφετο, σκοπεῖν ἀξιῶν, εἰ μανικῶς ἢ εἰ νουνεχῶς ἐπιχειροῦσι τὰ μηδὲν πρὸς αὐτοὺς ὄντα ἐξετάζειν. καὶ τοὺς μὲν ἐπιθυμοῦντας ἄρχειν ἀπεδοκίμαζε, νομίζων τὴν μὲν τῶν ἀρχόντων ἀρχὴν ἀκουσίαν εἶναι, τὴν δὲ τῶν ἀρχομένων ἑκουσίαν· τοὺς δὲ μὴ ἐπισταμένους ἄρχειν, ἀλλὰ δοκοῦντας, ἐπιτιμῶν, ἐπιτιμᾶσθαι ἠξίου· καὶ τοὺς μὲν ἐπιθυμοῦντας πλουτεῖν ἐπαχθεῖς ἡγεῖτο εἶναι, τοὺς δὲ μὴ ἐπιμελουμένους ὅπως ἔσονται πλούσιοι, ἀλλὰ μόνον ὅπως μὴ δεήσει χρημάτων, ἀνοήτους ἐνόμιζε· καὶ τοὺς μὲν ἐπιθυμοῦντας ἐπαίνου παρὰ τοῖς μὴ ἐπισταμένοις ἐπαινεῖν ἐπιπόνους ἐνόμιζε, τοὺς δὲ μὴ ἐπιμελουμένους ὅπως ἔσονται ἔνδοξοι, ἀλλὰ μόνον ὅπως μὴ δόξουσιν ἀνάξιοι εἶναι τῶν ἐπιτηδευμάτων, ἀνοήτους ἐνόμιζε· καὶ τοὺς μὲν ἐπιθυμοῦντας ἀγαθοὺς εἶναι τοὺς ἑαυτῶν φίλους ἐπιπόνους ἐνόμιζε, τοὺς δὲ μὴ ἐπιμελουμένους ὅπως ἔσονται ἀγαθοὶ

μενος ὑπὸ τῶν σοφιστῶν κόσμος ἔχει, καὶ ξίφιν ἀνάγκαις ἕκαστα γίγνεται τῶν οὐρανίων. ἀλλὰ καὶ τοὺς φροντίζοντας τὰ τοιαῦτα μωραίνοντας ἀπεδείκνυεν. Καὶ πρῶτον μὲν αὐτῶν ἐσκόπει, πότερά ποτε νομίσαντες ἱκανῶς ἤδη τἀνθρώπινα εἰδέναι, ἔρχονται ἐπὶ τὸ περὶ τῶν τοιούτων φροντίζειν· ἢ τὰ μὲν ἀνθρώπινα παρέντες, τὰ δαιμόνια δὲ σκοποῦντες, ἡγοῦνται τὰ προσήκοντα πράττειν; Ἐθαύμαζε δὲ, εἰ μὴ φανερὸν αὐτοῖς ἐστὶν, ὅτι ταῦτα οὐ δυνατόν ἐστιν ἀνθρώποις εὑρεῖν· ἐπεὶ καὶ τοὺς μέγιστον φρονοῦντας ἐπὶ τῷ περὶ τούτων λέγειν, οὐ ταὐτὰ δοξάζειν ἀλλήλοις, ἀλλὰ τοῖς μαινομένοις ὁμοίως διακεῖσθαι πρὸς ἀλλήλους. Τῶν τε γὰρ μαινομέ-

natus sit; quibusque de causis necessariis singulae res coelestes fiant. Imo eos, qui his rebus occuparentur, fatuos esse demonstrabat. Ac primum de eis hoc considerabat, An quod rati se humana jam satis intelligere, ad talia tractanda accederent: an relictis rebus humanis, divinas contemplantes, recte se agere putarent. Mirabatur etiam, quod non iis perspicuum esset, homines haec invenire non posse. Nec enim ii, qui plurimum arrogent sibi, quod de his disserere norunt, idem inter se sentiunt, sed animo insanorum instar inter se comparati sunt. Nam qui animo insani sunt, partim

Digitized by Google

νων τοὺς μὲν οὐδὲ τὰ δεινὰ δεδιέναι, τοὺς δὲ καὶ τὰ μὴ φοβερὰ φοβεῖσθαι· καὶ τοῖς μὲν οὐδ' ἐν ὄχλῳ δοκεῖν αἰσχρὸν εἶναι λέγειν ἢ ποιεῖν ὁτιοῦν, τοῖς δὲ οὐδ' ἐξιτητέον εἰς ἀνθρώπους εἶναι δοκεῖν· καὶ τοὺς μὲν οὔθ' ἱερὸν, οὔτε βωμὸν, οὔτε ἄλλο τῶν θείων οὐδὲν τιμᾷν, τοὺς δὲ καὶ λίθους καὶ ξύλα τὰ τυχόντα καὶ θηρία σέβεσθαι· τῶν τε περὶ τῆς τῶν πάντων φύσεως μεριμνώντων τοῖς μὲν δοκεῖν ἓν μόνον τὸ ὂν εἶναι, τοῖς δ' ἄπειρα τὸ πλῆθος· καὶ τοῖς μὲν ἀεὶ κινεῖσθαι πάντα, τοῖς δ' οὐδὲν ἂν ποτε κινηθῆναι· καὶ τοῖς μὲν πάντα γίγνεσθαί τε καὶ ἀπόλλυσθαι, τοῖς δ' οὔτ' ἂν γενέσθαι ποτὲ οὐδὲν, οὔτ' ἀπολέσθαι. Ἐσκόπει δὲ περὶ αὐτῶν καὶ τάδε· ἆρ' ὥσπερ

quae sunt terribilia, non metuunt; partim etiam non metuenda metuunt: itidem his non videri turpe esse, in turba quid vel dicere vel facere; aliis vero, ne exeundum quidem esse ad homines, videri: hos neque fanum, neque aram, neque rerum divinarum quidquam in honore habere; illos et lapides, et ligna, et belluas quaslibet colere: itidem eorum, qui de rerum omnium natura solicite inquirant, aliis videri unum solum esse id quod est, aliis vero numero infinita: his omnia semper moveri, illis nihil unquam moveri posse: his, omnia tum oriri, tum interire; illis, nihil unquam oriri posse, aut interire. Praeterea de his illud quoque considerabat, utrum, perinde ac illi, qui res humanas dis-

Digitized by Google

οἱ τἀνθρώπεια μανθάνοντες ἡγοῦνται τοῦθ', ὅ, τι ἂν μάθωσιν, ἑαυτοῖς τε καὶ τῶν ἄλλων ὅτῳ ἂν βούλωνται, ποιήσειν, οὕτω καὶ οἱ τὰ θεῖα ζητοῦντες νομίζουσιν, ἐπειδὰν γνῶσιν, αἷς ἀνάγκαις ἕκαστα γίγνεται, ποιήσειν, ὅταν βούλωνται, καὶ ἀνέμους καὶ ὕδατα καὶ ὥρας, καὶ ὅτου δ' ἂν ἄλλου δέωνται τῶν τοιούτων· ἢ τοιοῦτο μὲν οὐδὲν οὐδ' ἐλπίζουσιν, ἀρκεῖ δ' αὐτοῖς γνῶναι μόνον, ᾗ τῶν τοιούτων ἕκαστα γίγνεται; περὶ μὲν οὖν τῶν ταῦτα πραγματευομένων τοιαῦτα ἔλεγεν.

Αὐτὸς δὲ περὶ τῶν ἀνθρωπείων ἀεὶ διελέγετο, σκοπῶν, τί εὐσεβές, τί ἀσεβές· τί καλόν, τί αἰσχρόν· τί δίκαιον, τί ἄδικον· τί σωφροσύνη, τί μανία· τί ἀνδρεία, τί δει-

---

cant, arbitrantur hoc quod didicere, tum sibi tum aliis, quibuscunque velint, se facere posse; sic et illi, qui res divinas inquirunt, arbitrentur se, postesquam cognoverint quibus rationibus necessariis singula fiant, effecturos ubi velint, ventos, aquas, temporum vicissitudines, aliaque, si quo sit opus, his consimilia: an ejusmodi quidquam ne sperent qui-

dem, satisque habeant scire tantum, quo pacto rerum hujusmodi singulae fiant. De illis igitur, qui haec tractarent, talia proferebat.

Ipse de rebus humanis disserebat semper, considerans quid pium esset, quid impium: quid pulchrum, quid turpe: quid justum, quid injustum: quid animi sanitas, quid insanitas: quid fortitudo, quid

λία· τί πόλις, τί πολιτικός· τί ἀρχὴ ἀνθρώπων, τί ἀρχικὸς ἀνθρώπων· καὶ περὶ τῶν ἄλλων, ἃ τοὺς μὲν εἰδότας ἡγεῖτο καλοὺς καὶ ἀγαθοὺς εἶναι, τοὺς δὲ ἀγνοοῦντας ἀνδραποδώδεις ἂν δικαίως κεκλῆσθαι. Ὅσα μὲν οὖν μὴ φανερὸς ἦν, ὅπως ἐγίγνωσκεν, οὐδὲν θαυμαστὸν, ὑπὲρ τούτων περὶ αὐτοῦ παραγνῶναι τοὺς δικαστάς· ὅσα δὲ πάντες ἤδεσαν, θαυμαστὸν, εἰ μὴ τούτων ἐνεθυμήθησαν. Βουλεύσας γάρ ποτε, καὶ τὸν βουλευτικὸν ὅρκον ὀμόσας, ἐν ᾧ ἦν, κατὰ τοὺς νόμους βουλεύσειν, ἐπιστάτης ἐν τῷ δήμῳ γενόμενος, ἐπιθυμήσαντος τοῦ δήμου παρὰ τοὺς νόμους ἐννέα στρατηγοὺς μιᾷ ψήφῳ, τοὺς ἀμφὶ Θράσυλον καὶ Ἐρασινίδην, ἀποκτεῖναι

---

ignavia: quid civitas, quid rerum civilium peritus: quid imperium in homines, quid hominibus imperandi peritus: idemque de rebus caeteris, quarum cognitione instructos arbitrabatur pulchri bonique studiosos esse: qui autem eas ignorarent, mancipia merito vocari debere. Quapropter de quibus quid sentiret Socrates, non constabat, in iis de illo inique statuisse judices, mirum non est. Quae autem sciebant omnes, mirum est, quod ea animo non conciperent. Nam cum aliquando senator esset, ac sacramentum senatorium praestitisset, in quo hoc inserebatur, nempe, ut secundum leges consilium agitaret, praeses populi factus, petente contra leges populo novem praetores, inter quos

πάντας, οὐκ ἠθέλησεν ἐπιψηφίσαι, ὀργιζομένου μὲν αὐτῷ τοῦ δήμου, πολλῶν δὲ καὶ δυνατῶν ἀπειλούντων· ἀλλὰ περὶ πλείονος ἐποιήσατο εὐορκεῖν, ἢ χαρίσασθαι τῷ δήμῳ παρὰ τὸ δίκαιον, καὶ φυλάξασθαι τοὺς ἀπειλοῦντας. Καὶ γὰρ ἐπιμελεῖσθαι θεοὺς ἐνόμιζεν ἀνθρώπων, οὐχ ὃν τρόπον οἱ πολλοὶ νομίζουσιν. οὗτοι μὲν γὰρ οἴονται τοὺς θεοὺς τὰ μὲν εἰδέναι, τὰ δὲ οὐκ εἰδέναι. Σωκράτης δὲ πάντα μὲν ἡγεῖτο θεοὺς εἰδέναι, τά τε λεγόμενα καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα, πανταχοῦ δὲ παρεῖναι, καὶ σημαίνειν τοῖς ἀνθρώποις περὶ τῶν ἀνθρωπείων πάντων. Θαυμάζω οὖν, ὅπως ποτὲ ἐπείσθησαν

Thrasylus et Erasinides erant, omnes uno calculo morte multari, populo suffragii ferendi potestatem dare noluit; cumque populus ei succenseret, multique Potentes minarentur: nihilominus pluris fecit sancte jurare, quam gratificari populo contra jus et fas, aliorumque minas evitare. Etenim Deos putabat hominum curam gerere, alia quadam ratione, quam vulgo existimetur. Nam plerique putant Deos quaedam scire, quaedam nescire: Socrates autem arbitrabatur Deos omnia, quae vel dicerentur vel agerentur, vel clam deliberarentur, scire: eosdem ubique adesse, ac de rebus humanis omnia hominibus significare. Quamobrem mirari subit, quo tandem pacto persuasi fuerint Athenienses,

Digitized by Google

Ἀθηναῖοι, Σωκράτην περὶ τοὺς θεοὺς μὴ σωφρονεῖν, τὸν ἀσεβῆ μὲν οὐδέν ποτε περὶ τοὺς θεοὺς οὔτ' εἰπόντα οὔτε πράξαντα, τοιαῦτα δὲ καὶ λέγοντα καὶ πράττοντα περὶ θεῶν, οἷά τις ἂν καὶ λέγων καὶ πράττων εἴη τε καὶ νομίζοιτο εὐσεβέστατος.

β'. Θαυμαστὸν δὲ φαίνεταί μοι καὶ τὸ πεισθῆναί τινας, ὡς Σωκράτης τοὺς νέους διέφθειρεν, ὅς, πρὸς τοῖς εἰρημένοις, πρῶτον μὲν ἀφροδισίων καὶ γαστρὸς πάντων ἀνθρώπων ἐγκρατέστατος ἦν· εἶτα πρὸς χειμῶνα καὶ θέρος καὶ πάντας πόνους καρτερικώτατος· ἔτι δὲ πρὸς τὸ μετρίων δεῖσθαι πεπαιδευμένος οὕτως, ὥστε πάνυ μικρὰ κεκτημένος, πάνυ ῥᾳδίως ἔχειν ἀρκοῦντα. Πῶς οὖν αὐτὸς ὢν

Socratem animo erga Deos sano non uti, quum ille nihil unquam impii in Deos vel dixerit vel commiserit; sed potius sic et de iis locutus sit, et in eos se gesserit, ut si quis ea tum dicat tum faciat, sit ac putari debeat religiosissimus.

2. Hoc quoque mirum mihi videtur, persuaderi quosdam potuisse, quod Socrates adolescentes corrumperet, qui praeter ea quae dicta sunt, primo rerum veneerarum, ac gulae, supra omnes homines continentissimus erat: deinde hyemis, aestatis, laborum omnium tolerantissimus: atque etiam sic ad mediocritatem institutus, ut quum valde modicum posside-ret, facillime contentus iis esset, quae sufficiant. Quo igitur pacto, quum talis esset

Digitized by Google

τοιοῦτος, ἄλλους ἂν ἢ ἀσεβεῖς, ἢ παρανόμους, ἢ λίχνους, ἢ ἀφροδισίων ἀκρατεῖς, ἢ πρὸς τὸ πονεῖν μαλακοὺς ἐποίησεν; ἀλλ' ἔπαυσε μὲν τούτων πολλοὺς, ἀρετῆς ποιήσας ἐπιθυμεῖν, καὶ ἐλπίδας παράσχων, ἂν ἑαυτῶν ἐπιμελῶνται, καλοὺς καὶ ἀγαθοὺς ἔσεσθαι. Καίτοι γε οὐδὲ πώποτε ὑπέσχετο διδάσκαλος εἶναι τούτου· ἀλλὰ τῷ φανερὸς εἶναι τοιοῦτος ὤν, ἐλπίζειν ἐποίει τοὺς συνδιατρίβοντας ἑαυτῷ, μιμουμένους ἐκεῖνον τοιούσδε γενήσεσθαι. Ἀλλὰ μὴν καὶ τοῦ σώματος αὐτός τε οὐκ ἠμέλει, τούς τε ἀμελοῦντας οὐκ ἐπῄνει. τὸ μὲν οὖν ὑπερεσθίοντα ὑπερπονεῖν ἀπεδοκίμαζε, τὸ δὲ, ὅσα ἡδέως ἡ ψυχὴ δέχεται, ταῦτα

---

ipse, reddidit alios vel impios, vel legum violatores, vel luxuriosos, vel in rebus venereis incontinentes, vel molles ad perferendos labores? Imo vero multos ab his vitiis revocavit, utque virtutis essent studiosi, perfecit: etiam injecta spe, futurum, ut si sui ipsorum curam gererent, viri pulchri bonique studiosi evaderent. Neque tamen unquam haec se docere velle profitebatur, sed quia constabat eum talem esse, in spem erigebat eos qui cum illo versabantur, futurum, ut si ipsum imitarentur, et ipsi tales evaderent. Nec corpus quidem ipse suum negligenter curabat, ac si qui curarent negligenter, eos minime laudabat. Itaque improbabat si quis nimio cibo refertus labores immodicos susciperet, magisque

Digitized by Google

ἱκανῶς ἐκπονεῖν ἐδοκίμαζε. ταύτην γὰρ τὴν ἕξιν ὑγιεινήν τε ἱκανῶς εἶναι, καὶ τὴν τῆς ψυχῆς ἐπιμέλειαν οὐκ ἐμποδίζειν ἔφη. Ἀλλ' οὐ μὴν θρυπτικός γε, οὐδὲ ἀλαζονικὸς ἦν, οὔτ' ἀμπεχόνῃ, οὔθ' ὑποδέσει, οὔτε τῇ ἄλλῃ διαίτῃ. οὐ μὴν οὐδ' ἐρασιχρημάτους γε τοὺς συνόντας ἐποίει. τῶν μὲν γὰρ ἄλλων ἐπιθυμιῶν ἔπαυε, τοὺς δὲ ἑαυτοῦ ἐπιθυμοῦντας οὐκ ἐπράττετο χρήματα. Τούτου δ' ἀπεχομένους ἐνόμιζεν ἐλευθερίας ἐπιμελεῖσθαι, τοὺς δὲ λαμβάνοντας τῆς ὁμιλίας μισθὸν ἀνδραποδιστὰς ἑαυτῶν ἀπεκάλει, διὰ τὸ ἀναγκαῖον αὐτοῖς εἶναι, διαλέγεσθαι παρ' ὧν ἂν λάβοιεν τὸν μισθόν. Ἐθαύμαζε δὲ, εἴ τις ἀρετὴν

---

probabat, si quod animus lubenter admisisset, id laborando conficeretur. Nam ejusmodi habitum valetudini sufficere, ac animae studium haudquaquam impedire aiebat. Minime vero delicatus erat, aut ostentandi se cupidus, sive vestitu, sive calceatu, seu reliqua vitae ratione: nec avaros quidem efficiebat eos, qui cum ipso versabantur; nam et aliis a libidinibus eos revocabat, et a studiosis sui pecuniam non exigebat. Qua in re qui abstinentes se ostenderent, libertatem colere judicabat; qui autem conversationis causa mercedem caperent, suimet quosdam quasi plagiarios appellabat, propterea quod necessario disserere cogerentur apud eos, a quibus mercedem acciperent. Mirum ipsi vide-

Digitized by Google

ἐπαγγελλόμενος ἀργύριον πράττοιτο, καὶ μὴ νομίζοι τὸ μέγιστον κέρδος ἕξειν φίλον ἀγαθὸν κτησάμενος, ἀλλὰ φοβοῖτο, μὴ ὁ γενόμενος καλὸς κἀγαθὸς τῷ τὰ μέγιστα εὐεργετήσαντι μὴ τὴν μεγίστην χάριν ἔξοι. Σωκράτης δ' ἐπηγγείλατο μὲν οὐδενὶ πώποτε τοιοῦτον οὐδέν· ἐπίστευε δὲ τῶν ξυνόντων αὐτῷ τοὺς ἀποδεξαμένους, ἅπερ αὐτὸς ἐδοκίμαζεν, εἰς τὸν πάντα βίον ἑαυτῷ τε καὶ ἄλλοις φίλους ἀγαθοὺς ἔσεσθαι. πῶς ἂν οὖν ὁ τοιοῦτος ἀνὴρ διαφθείροι τοὺς νέους; εἰ μὴ ἄρα ἡ τῆς ἀρετῆς ἐπιμέλεια διαφθορά ἐστιν.

Ἀλλὰ νὴ Δία, ὁ κατήγορος ἔφη, ὑπερορᾶν ἐποίει τῶν καθεστώτων νόμων τοὺς συνόν-

batur, eum qui virtutem profiteretur, pecuniam exigere, neque maximum lucrum ducere, quod bonum amicum sibi adjungeret; potius autem metuere, ne is qui studiosus pulchri bonique vir factus esset, homini optime de se merito non etiam maximam gratiam haberet. Socrates nemini unquam tale quid pollicebatur, sed futurum credebat, ut qui de numero familiarium suorum amplexi fuissent ea, quae probabat ipse, toto vitae tempore tum sibi tum aliis boni amici essent. Quo igitur modo vir talis adolescentes corrumperet? nisi forte virtutis studium corruptelam quis esse putat.

At profecto, dixit Accusator, familiares suos tales effecit, ut leges receptas contemnerent; quum diceret, stultorum

τας, λέγων, ὡς μωρῶν εἴη, τοὺς μὲν τῆς πόλεως ἄρχοντας ἀπὸ κυάμου καθίστασθαι, κυβερνήτῃ δὲ μηδένα θέλειν κεχρῆσθαι κυαμευτῷ, μηδὲ τέκτονι, μηδ' αὐλητῇ, μηδ' ἐπ' ἄλλα τοιαῦτα, ἃ πολλῷ ἐλάττονας βλάβας ἁμαρτανόμενα ποιεῖ τῶν περὶ τὴν πόλιν ἁμαρτανομένων. τοὺς δὲ τοιούτους λόγους ἐπαίρειν ἔφη τοὺς νέους καταφρονεῖν τῆς καθεστώσης πολιτείας, καὶ ποιεῖν βιαίους. Ἐγὼ δ' οἶμαι τοὺς φρόνησιν ἀσκοῦντας, καὶ νομίζοντας ἱκανοὺς ἔσεσθαι τὰ συμφέροντα διδάσκειν τοὺς πολίτας, ἥκιστα γίγνεσθαι βιαίους, εἰδότας ὅτι τῇ μὲν βίᾳ πρόσεισιν ἔχθραι καὶ κίνδυνοι, διὰ δὲ τοῦ πείθειν ἀκιν-

---

esse hominum, magistratus civitatis a faba sibi constituere; quando nemo fabario velit uti navium gubernatore, neque fabro, neque tibicine, neque aliis in rebus talibus, in quibus si erretur, multo minora detrimenta capiantur, quam si peccetur in republica. Tales ille sermones efferre adolescentium animos aiebat, ut praesentem reipublicae statum contemnerent, eosdemque violentos reddere. Verum ego arbitror, eos qui prudentiam exercent, seque putant posse cives ea docere, quae expediant, minime violentos fieri; quippe qui sciant, cum violentia quidem inimicitias et pericula conjuncta esse, eadem autem posse fieri absque omni periculo, et cum amicitia, persuadendo: nam qui vi coguntur, ita ode-

δύνως τε καὶ μετὰ φιλίας τὰ αὐτὰ γίγνεται. οἱ μὲν γὰρ βιασθέντες, ὡς ἀφαιρεθέντες, μισοῦσιν· οἱ δὲ πεισθέντες, ὡς κεχαρισμένοις, φιλοῦσιν. οὐκ οὖν τῶν φρόνησιν ἀσκούντων τὸ βιάζεσθαι, ἀλλὰ τῶν ἰσχὺν ἄνευ γνώμης ἐχόντων τὰ τοιαῦτα πράττειν ἐστίν. Ἀλλὰ μὴν καὶ στρατιάν γε ὁ μὲν βιάζεσθαι τολμῶν δέοιτ' ἂν οὐκ ὀλίγων, ὁ δὲ πείθειν δυνάμενος, οὐδενός· καὶ γὰρ μόνος ἡγοῖτ' ἂν δύνασθαι πείθειν. καὶ φονεύειν δὲ τοῖς τοιούτοις ἥκιστα συμβαίνει. τίς γὰρ ἀποκτεῖναί τινα βούλοιτ' ἂν μᾶλλον, ἢ ζῶντι πειθομένῳ χρῆσθαι;

Ἀλλ', ἔφη γε ὁ κατήγορος, Σωκράτει ὁμιλητὰ γενομένω Κριτίας τε καὶ Ἀλκιβιά-

---

runt, ut quibus aliquid ademptum sit: at qui persuadentur, quasi quibus grata res acciderit, etiam amant: quamobrem horum minime est, qui prudentiam exercent, vim inferre; sed illorum, qui vires habent absque consilio. Praeterea si quis violenter audeat agere, non paucis egebit sociis; qui vero persuadere potest, nullo: nam solum se putat ad persuadendum satis valere: quinetiam ejusmodi hominibus minime accidit, ut quenquam occidant. Quis enim interficere velit aliquem potius, quam vivum obsequentem habere.

At vero, dicebat Accusator, usi consuetudine Socratis Critias et Alcibiades, maximis malis civitatem affecerunt. Nam Critias quidem paucorum in

Digitized by Google

δης, πλεῖστα κακὰ τὴν πόλιν ἐποιησάτην. Κριτίας μὲν γὰρ τῶν ἐν τῇ ὀλιγαρχίᾳ πάντων πλεονεκτέστατός τε καὶ βιαιότατος ἐγένετο· Ἀλκιβιάδης δὲ αὖ τῶν ἐν τῇ δημοκρατίᾳ πάντων ἀκρατέστατος, καὶ ὑβριστότατος, καὶ βιαιότατος. Ἐγὼ δ', εἰ μέν τι κακὸν ἐκείνω τὴν πόλιν ἐποιησάτην, οὐκ ἀπολογήσομαι· τὴν δὲ πρὸς Σωκράτην συνουσίαν αὐτοῖν, ὡς ἐγένετο, διηγήσομαι. Ἐγενέσθην μὲν γὰρ δὴ τὼ ἄνδρε τούτω φύσει φιλοτιμοτάτω πάντων Ἀθηναίων, βουλομένω τε πάντα δι' ἑαυτῶν πράττεσθαι, καὶ πάντων ὀνομαστοτάτω γενέσθαι. ἤδεσαν δὲ, Σωκράτην ἀπ' ἐλαχίστων μὲν χρημάτων αὐταρκέστατα ζῶντα, τῶν ἡδονῶν δὲ πασῶν ἐγκρατέστατον ὄντα, τοῖς δὲ διαλεγομένοις

dominatu longe omnium avarissimus et violentissimus fuit: Alcibiades autem longe omnium in statu populari fuit intemperantissimus, et petulantissimus, et violentissimus. E quidem, si quo damno civitatem hi duo affecerunt, non excusabo: quae autem fuerit utriusque cum Socrate consuetudo, commemoraturus sum. Fuerunt hi viri natura longe omnium Atheniensium ambitiosissimi, et qui cuperent omnia per se geri, omniumque clarissimi evadere. Norunt autem, minimis facultatibus Socratem plane contentum vivere, cunctisque a voluptatibus se prorsus abstinere; denique illos, quibuscum dissereret, in colloquiis ita flectere, prout ipse vellet. Quae quum illi viderent, ac tales essent, quales

Digitized by Google

αὐτῷ πᾶσι χρώμενον ἐν τοῖς λόγοις, ὅπως βούλοιτο. Ταῦτα δὲ ὁρῶντε, καὶ ὅντε οἵῳ προείρησθον, πότερόν τις αὐτὼ φῇ τοῦ βίου τοῦ Σωκράτους ἐπιθυμήσαντε, καὶ τῆς σωφροσύνης, ἣν ἐκεῖνος εἶχεν, ὀρέξασθαι τῆς ὁμιλίας αὐτοῦ· ἢ νομίσαντε, εἰ ὁμιλησαίτην ἐκείνῳ, γενέσθαι ἂν ἱκανωτάτω λέγειν τε καὶ πράττειν; Ἐγὼ μὲν γὰρ ἡγοῦμαι, θεοῦ διδόντος αὐτοῖν, ἢ ζῆν ὅλον τὸν βίον, ὥσπερ ζῶντα Σωκράτην ἑώρων, ἢ τεθνάναι, ἑλέσθαι ἂν αὐτὼ μᾶλλον τεθνάναι. δήλω δ' ἐγενέσθην ἐξ ὧν ἐπραξάτην. ὡς γὰρ τάχιστα κρείττονε τῶν συγγιγνομένων ἡγησάσθην εἶναι, εὐθὺς ἀποπηδήσαντε Σωκράτους, ἐπραττέτην τὰ πολιτικὰ, ὧνπερ ἕνεκα Σωκράτους ὠρεχθήτην.

---

fuisse ante referebamus; an quis dicat, eos cupidos vitae et animi sanitatis, qua usus est Socrates, consuetudinem ipsius expetivisse: an potius quod existimarent, se, si cum ipso versarentur, futuros et ad dicendum, et ad gerendas res promptissimos? Arbitror equidem, si Deus optionem utrique dedisset, ut vel totam vitam sic viverent, quemadmodum Socratem viderent vivere, vel morerentur, potius mortem fuisse electuros. Ex iis autem rebus, quas gessere, cogniti fuerunt. Nam ubi primum arbitrabantur, se condiscipulis praestantiores esse, statim a Socrate resilierunt, remque publicam gerendam susceperunt, cujus gratia Socratis studiosi fuerant.

Digitized by Google

Ἴσως οὖν εἴποί τις ἂν πρὸς ταῦτα, ὅτι χρῆν τὸν Σωκράτην μὴ πρότερον τὰ πολιτικὰ διδάσκειν τοὺς συνόντας, ἢ σωφρονεῖν. ἐγὼ δὲ πρὸς τοῦτο μὲν οὐκ ἀντιλέγω· πάντας δὲ τοὺς διδάσκοντας ὁρῶ αὐτοὺς δεικνύντας τε τοῖς μανθάνουσιν, ἥπερ αὐτοὶ ποιοῦσιν ἃ διδάσκουσι, καὶ τῷ λόγῳ προβιβάζοντας. Οἶδα δὲ καὶ Σωκράτην δεικνῦντα τοῖς ξυνοῦσιν ἑαυτὸν καλὸν κἀγαθὸν ὄντα, καὶ διαλεγόμενον κάλλιστα περὶ ἀρετῆς, καὶ τῶν ἄλλων ἀνθρωπίνων. οἶδα δὲ κἀκείνω σωφρονοῦντε, ἔς τε Σωκράτει συνήστην, οὐ φοβουμένω μὴ ζημιοῖντο ἢ παίοιντο ὑπὸ Σωκράτους, ἀλλ' οἰομένω τότε, κράτιστον εἶναι τοῦτο πράττειν.

Fortasse quis ad haec responderit, debuisse Socratem non prius familiares suos in rerum civilium scientia instituere, quam animi sanitatem illi didicissent. Ego vero nihil ad hoc contradico: video tamen omnes eos, qui docent, seipsos discipulis exhibere, quo pacto praestent ipsi, quod docent, atque etiam eos oratione impellere. Novi Socratem quoque seipsum virum pulchri bonique studiosum familiaribus suis exhibuisse, deque virtute ac rebus humanis caeteris praeclarissime disseruisse. Necnon illos duos novi animo sanos fuisse, quam quidem diu Socratis utebantur familiaritate; non quod vererentur, ne a Socrate vel multarentur vel caederentur; sed quod putarent id temporis hoc sibi maxime ex usu esse.

Digitized by Google

Ἴσως οὖν εἴποιεν ἄν τινες τῶν λεγόντων φιλοσοφεῖν, ὅτι οὐκ ἄν ποτε ὁ δίκαιος, ἄδικος γένοιτο, οὐδὲ ὁ σώφρων, ὑβριστής, οὐδὲ ἄλλο οὐδέν, ὧν μάθησίς ἐστιν, ὁ μαθὼν, ἀνεπιστήμων ἄν ποτε γένοιτο. ἐγὼ δὲ περὶ τούτων οὐχ οὕτω γιγνώσκω. ὁρῶ γὰρ, ὥσπερ τὰ τοῦ σώματος ἔργα τοὺς μὴ τὰ σώματα ἀσκοῦντας οὐ δυναμένους ποιεῖν, οὕτω καὶ τὰ τῆς ψυχῆς ἔργα τοὺς μὴ τὴν ψυχὴν ἀσκοῦντας οὐ δυναμένους· οὔτε γὰρ, ἃ δεῖ, πράττειν, οὔτε, ὧν δεῖ, ἀπέχεσθαι δύνανται. Διὸ καὶ τοὺς υἱεῖς οἱ πατέρες, κἂν ὦσι σώφρονες, ὅμως ἀπὸ τῶν πονηρῶν ἀνθρώπων εἴργουσιν, ὡς τὴν μὲν τῶν χρηστῶν ὁμιλίαν ἄσκησιν οὖσαν τῆς

Fortasse autem plerique illorum, qui philosophari se profitentur, dixerint, justum hominem nunquam injustum fieri posse, neque sanum animo insanum: neque in quoquam illorum, quae discendo percipiuntur, eum, qui didicit, indoctum posse fieri. Verum ego de his non ita sentio. Video enim, perinde atque corporis actiones ab iis perfici non possunt, qui corpora non exercent; sic etiam actiones animae non posse ab iis perfici, qui animam non exerceant. Nec enim quae oportet facere, nec a quibus oportet abstinere, possunt. Quamobrem et parentes filios suos, tametsi animo sani sint, nihilominus ab improbis hominibus arcent; quippe quod hominum consuetudo, virtutis exercitatio sit;

ἀρετῆς, τὴν δὲ τῶν πονηρῶν, κατάλυσιν· μαρτυρεῖ δὲ καὶ τῶν ποιητῶν ὅ, τε λέγων,

Ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ διδάξεαι· ἢν δὲ κακοῖσι
Συμμιχθῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον·

καὶ ὁ λέγων,

Αὐτὰρ ἀνὴρ ἀγαθὸς, τοτὲ μὲν κακὸς, ἄλλοτε δ' ἐσθλός.

Κἀγὼ δὲ μαρτυρῶ τούτοις. ὁρῶ γὰρ, ὥσπερ τῶν ἐν μέτρῳ πεποιημένων ἐπῶν τοὺς μὴ μελετῶντας ἐπιλανθανομένους, οὕτω καὶ τῶν διδασκαλικῶν λόγων τοῖς ἀμελοῦσι λήθην ἐγγιγνομένην. ὅταν δὲ τῶν νουθετικῶν λόγων ἐπιλάθηταί τις, ἐπιλέλησται καὶ ὧν ἡ ψυχὴ πάσχουσα τῆς σωφροσύνης ἐπιθυμεῖ. τούτων δὲ ἐπιλαθόμενον οὐδὲν θαυμαστὸν καὶ τῆς σωφροσύνης ἐπιλαθέσθαι. Ὁρῶ δὲ καὶ τοὺς εἰς

---

malorum autem, ejusdem exitium. Idem testatur Poëtarum ille, qui ait:

A bonis enim viris bona disces: si vero malis
Commiscearis, perdes et quam habebas mentem.

et qui ait:

Vir bonus interdum male, interdum bene se gerit.

Equidem haec ipse testor. Video enim, quod perinde ac illi, qui se non exercent, carminum certa lege compositorum obliviscuntur; sic et praeceptorum doctrina traditorum oblivio in iis nascatur, qui ea non meditantur. Quum autem aliquis moralium praeceptorum obliviscitur, eorum etiam oblitus est, quibus dum anima afficitur, animi sanitatem appetit. Eum vero, qui horum obliviscitur, mirum non est

Digitized by Google

φιλοποσίαν προαχθέντας, καὶ τοὺς εἰς ἔρωτας ἐκπυλισθέντας, ἧττον δυναμένους τῶν τε δεόντων ἐπιμελεῖσθαι, καὶ τῶν μὴ δεόντων ἀπέχεσθαι. πολλοὶ γὰρ καὶ χρημάτων δυνάμενοι φείδεσθαι, πρὶν ἐρᾶν, ἐρασθέντες οὐκ ἔτι δύνανται· καὶ τὰ χρήματα καταναλώσαντες, ὧν πρόσθεν ἀπείχοντο κερδῶν, αἰσχρὰ νομίζοντες εἶναι, τούτων οὐκ ἀπέχονται. Πῶς οὖν οὐκ ἐνδέχεται σωφρονήσαντα πρόσθεν, αὖθις μὴ σωφρονεῖν, καὶ δίκαια δυνηθέντα πράττειν, αὖθις ἀδυνατεῖν; πάντα μὲν οὖν ἔμοιγε δοκεῖ τὰ καλὰ καὶ τὰ ἀγαθὰ ἀσκητὰ εἶναι, οὐχ ἥκιστα δὲ σωφροσύνη· ἐν τῷ γὰρ αὐτῷ σώματι συμπεφυτευμέναι τῇ ψυχῇ αἱ ἡδοναὶ πεί-

---

ipsius etiam animi sanitatis oblivisci. Video etiam illos, qui ad potandi studium plus aequo provecti sunt, et ad amores effusi, minus posse et ea curare, quae agenda sunt, et ab iis abstinere, quae non sunt agenda. Nam multi, qui etiam pecuniis parcere prius poterant, quam amarent, in amorem prolapsi jam non amplius id possunt: absumptisque pecuniis, ab iis lucris, a quibus ante se continebant, quippe quae turpia ducerent, non abstinent. Cur igitur fieri non possit, ut qui ante animo sanus fuerit, deinde non sit animo sanus; et qui juste agere potuerit, deinde non possit? Equidem omnia pulchra et bona comparari exercitatione posse statuo, nec minime quidem animi sanitatem. Nam in eo-

Digitized by Google

θουσιν αὐτὴν μὴ σωφρονεῖν, ἀλλὰ τὴν ταχίστην ἑαυταῖς τε καὶ τῷ σώματι χαρίζεσθαι.

Καὶ Κριτίας δὴ καὶ Ἀλκιβιάδης, ἕως μὲν Σωκράτει συνήστην, ἐδυνάσθην, ἐκείνῳ χρωμένω συμμάχῳ, τῶν μὴ καλῶν ἐπιθυμιῶν κρατεῖν· ἐκείνου δ' ἀπαλλαγέντε, Κριτίας μὲν φυγὼν εἰς Θετταλίαν, ἐκεῖ συνῆν ἀνθρώποις ἀνομίᾳ μᾶλλον ἢ δικαιοσύνῃ χρωμένοις· Ἀλκιβιάδης δ' αὖ διὰ μὲν κάλλος ὑπὸ πολλῶν καὶ σεμνῶν γυναικῶν θηρώμενος, διὰ δύναμιν δὲ τὴν ἐν τῇ πόλει καὶ τοῖς συμμάχοις ὑπὸ πολλῶν καὶ δυνατῶν κολακεύειν ἀνθρώπων διαθρυπτόμενος, ὑπὸ δὲ τοῦ δήμου τιμώμενος, καὶ ῥᾳδίως πρωτεύων, ὥσπερ οἱ τῶν γυμνικῶν ἀγώνων ἀθληταὶ ῥᾳδίως πρωτεύοντες ἀμελοῦσι τῆς

---

dem corpore voluptates animae insitae persuadent ei, ne animo utatur sano, sed quamprimum et ipsis et corpori gratificetur.

Quamobrem etiam Critias et Alcibiades, quamdiu cum Socrate versabantur, quod illum opitulatorem haberent, cupiditates inhonestas vincere poterant: verum posteaquam ab eo discessissent, Critias quidem, quum in Thessaliam fuga se recepisset, consuetudine hominum istic utebatur, qui vitam facinorosam potius, quam justam agerent: Alcibiades autem, posteaquam eum ob elegantiam formae multae ac speciosae mulieres venatae essent, atque ipse propter potentiam, quam et in urbe et apud socios obtinebat, a multis hominibus, iisdemque assentandi peritis, dissolutior fieret,

Digitized by Google

ἀσκήσεως, οὕτω κἀκεῖνος ἠμέλησεν αὑτοῦ. Τοιούτων δὲ συμβάντων αὐτοῖν, καὶ ὠγκωμένῳ μὲν ἐπὶ γένει, ἐπηρμένῳ δ' ἐπὶ πλούτῳ, πεφυσημένῳ δ' ἐπὶ δυνάμει, διατεθρυμμένῳ δὲ ὑπὸ πολλῶν ἀνθρώπων, ἐπὶ δὲ πᾶσι τούτοις διεφθαρμένῳ, καὶ πολὺν χρόνον ἀπὸ Σωκράτους γεγονότε, τί θαυμαστὸν, εἰ ὑπερηφάνω ἐγενέσθην; Εἶτα, εἰ μέν τι ἐπλημμελησάτην, τούτου Σωκράτην ὁ κατήγορος αἰτιᾶται· ὅτι δὲ νέω ὄντε αὐτὼ (ἡνίκα καὶ ἀγνωμονεστάτω καὶ ἀκρατεστάτω εἰκὸς εἶναι) Σωκράτης παρέσχε σώφρονε, οὐδενὸς ἐπαίνου δοκεῖ τῷ κατηγόρῳ ἄξιος εἶναι; οὐ μὴν τάγε ἄλλα οὕτω κρίνεται. Τίς μὲν γὰρ αὐλητὴς, τίς δὲ καὶ κιθαριστὴς, τίς

et a populo honorem ei habente coleretur, facileque primas obtineret; perinde ac athletae, qui gymnicis in certaminibus facile primas adepti sunt, exercitationem negligunt; sic et ipse seipsum neglexit. Hujusmodi erge res quum illis accidissent, quum ob generis nobilitatem intumuissent, elati essent propter opes, inflati propter potentiam, dissolutiores multorum hominum opera facti, et his adeo omnibus corrupti; quum etiam longo tempore abfuissent a Socrate, quid mirum erat, eos insolentes evasisse? Deinde, si quid ab his peccatum est, ejus culpam accusator in Socratem confert: quod autem eos adhuc adolescentes, (qua aetate consentaneum est, maxime inopes consilii et intemperantissimos fuisse,) Socrates animo sanos reddiderit, id nulla dignum

δὲ ἄλλος διδάσκαλος ἱκανοὺς ποιήσας τοὺς μαθητὰς, ἐὰν πρὸς ἄλλους ἐλθόντες χείρους φανῶσιν, αἰτίαν ἔχει τούτου; τίς δὲ πατὴρ, ἐὰν ὁ παῖς αὐτοῦ συνδιατρίβων τῷ σώφρων ᾖ, ὕστερον δὲ ἄλλῳ τῳ συγγενόμενος πονηρὸς γένηται, τὸν πρόσθεν αἰτιᾶται, ἀλλ' οὐχ ὅσῳ ἂν παρὰ τῷ ὑστέρῳ χείρων φαίνηται, τοσούτῳ μᾶλλον ἐπαινεῖ τὸν πρότερον; ἀλλ' οἵ γε πατέρες αὐτοὶ συνόντες τοῖς υἱέσι, τῶν παίδων πλημμελούντων, οὐκ αἰτίαν ἔχουσιν, ἐὰν αὐτοὶ σωφρονῶσιν. Οὕτω δὲ καὶ Σωκράτην δίκαιον ἦν κρίνειν. εἰ μὲν αὐτὸς ἐποίει τι φαῦλον, εἰκότως ἂν ἐδόκει πονηρὸς εἶναι· εἰ δ' αὐτὸς σωφρονῶν διετέλει, πῶς ἂν δικαίως τῆς

laude putat accusator. Atqui eo modo de aliis non judicatur. Quis tibicen, quis citharoedus, quis magister alius, posteaquam discipulos idonee satis instituit, si deinde ad alios profecti pejores evaserint, culpam ejus rei sustinet? Quis pater, si filius ejus cum aliquo vivens animo sanus sit, deinde alterius usus consuetudine pravus efficiatur, priorem culpet; ac non tanto magis priorem laudet, quanto filius apud posteriorem pejor evadit? quin ne ipsi parentes quidem, quum filios secum habent, filiis delinquentibus, culpam ullam merentur, modo ipsi animo utantur sano. Sic aequum erat etiam de Socrate judicium fieri. si quid ipse rei turpis agebat, merito malus esse videbatur: at si ipse animo sano constanter usus

οὐκ ἐνοῦσης αὐτῷ κακίας αἰτίαν ἔχοι; ἀλλ' εἰ καὶ μηδὲν αὐτὸς πονηρὸν ποιῶν, ἐκείνους φαῦλα πράττοντας ὁρῶν ἐτήρει, δικαίως ἂν ἐκτετιμᾶτο.

Κριτίαν μὲν τοίνυν αἰσθανόμενος ἐρῶντα Εὐθυδήμου, καὶ πειρῶντα χρῆσθαι, παυόμενον εἰ πρὸς τὰ ἀφροδίσια τῶν σωμάτων ἀπολαύοντες, ἀπέχεσκε, φάσκων ἀνελεύθερόν τε εἶναι καὶ οὐ πρέπον ἀνδρὶ καλῷ κἀγαθῷ, τὸν ἐρώμενον, ᾧ βούλεται πολλοῦ ἄξιος φαίνεσθαι, προσαιτεῖν, ὥσπερ τοὺς πτωχούς, ἱκετεύοντα, καὶ δεόμενον προσδοῦναι, καὶ ταῦτα μηδενὸς ἀγαθοῦ. Τοῦ δὲ Κριτίου τοῖς τοιούτοις οὐχ ὑπακούοντος, οὐδὲ ἀπορρεπομένου, λέγεται τὸν Σωκράτην, ἄλλων τε πολλῶν παρόντων καὶ τοῦ Εὐθυδήμου,

---

est, qui fieri potest, ut jure culpam ejus vitii suscipiat, quod in ipso non erat? quinetiam, si nihil ipse delinqueret, illos tamen vitiose se gerentes aspicians, laudabat: jure utique est reprehenderetur.

At vero quum Critiam Euthydemi amore captum, eoque, non aliter atque illi, qui corporibus ad venerem abutuntur, frui velle animadverteret, eum averterè conatus est; quem illiberale esse dicerat, neque decorum viro pulchri bonique studioso, ab amato, apud quem esse magno velit in pretio, aliquid pauperum instar mendicare ac supplicare, darique sibi quidpiam petere, quod ne bonum quidem sit. Quibus quum Critias non obe-

εἰπεῖν, ὅτι ὑϊκὸν αὐτῷ δοκοίη πάσχειν ὁ Κριτίας, ἐπιθυμῶν Εὐθυδήμῳ προσκνᾶσθαι, ὥσπερ τὰ ὑΐδια τοῖς λίθοις. Ἐξ ὧν δὴ καὶ ἐμίσει τὸν Σωκράτην ὁ Κριτίας, ὥστε καὶ ὅτε τῶν τριάκοντα ἦν νομοθέτης μετὰ Χαρικλέους ἐγένετο, ἀπεμνημόνευσεν αὐτῷ, καὶ ἐν τοῖς νόμοις ἔγραψε, λόγων τέχνην μὴ διδάσκειν, ἐπηρεάζων ἐκείνῳ, καὶ οὐκ ἔχων ὅπῃ ἐπιλάβοιτο, ἀλλὰ τὸ κοινῇ τοῖς φιλοσόφοις ὑπὸ τῶν πολλῶν ἐπιτιμώμενον ἐπιφέρων αὐτῷ, καὶ διαβάλλων πρὸς τοὺς πολλούς. οὔτε γὰρ ἔγωγε, [οὔτε αὐτὸς] τοῦτο πώποτε Σωκράτους ἤκουσα, οὔτ' ἄλλου φάσκοντος ἀκηκοέναι ἠσθόμην. Ἐδήλωσε δέ· ἐπεὶ γὰρ οἱ τριάκοντα πολλοὺς μὲν τῶν πολιτῶν, καὶ οὐ τοὺς χειρίστους,

---

diret, neque se averti pateretur, dixisse Socratem perhibent, cum aliis multis praesentibus, tum Euthydemo, accidisse quiddam Critiae porcorum naturae consentaneum, qui concupiscat ad Euthydemum se affricare, quemadmodum porcelli soleant ad saxa. Quibus de causis usque adeo Socratem Critias oderat, ut, quum Trigintavirum unus esset, et cum Charicle Legumlator factus esset, hoc ipsum in memoriam ei revocaret, atque in legibus perscripserit, nulli licere disserendi artem docere, Socrati nimirum obtrectans, et quum ansam criminandi non haberet, torquens in eum, et apud multitudinem reprehendens id, quod vulgo in Philosophis reprehenditur. Etenim ego de Socrate nunquam ipse

ἀδίκειν, πολλοὺς δὲ προστρέποντα ἀδικεῖν, εἴτέ που ὁ Σωκράτης, ὅτι θαυμαστόν οἱ δοκεῖ εἶναι, εἴ τις γενόμενος βοῶν ἀγέλης νομεὺς, καὶ τὰς βοῦς ἐλάττους τε καὶ χείρους ποιῶν, μὴ ὁμολογοίη παμπόλλου βουκόλος εἶναι· ἔτι δὲ θαυμαστότερον, εἴ τις προστάτης γενόμενος πόλεως, καὶ ποιῶν τοὺς πολίτας ἐλάττους καὶ χείρους, μὴ αἰσχύνοιτο, μηδ' οἴοιτο παμπόλλου εἶναι προστάτης τῆς πόλεως. Ἀπαγγελθέντος δὲ αὐτοῖς τούτου, καλέσαντες ὅ, τε Κριτίας καὶ ὁ Χαρικλῆς τὸν Σωκράτην, τόν τε νόμον ἐδείκνυτην αὐτῷ, καὶ τοῖς νέοις ἀπεῖπάτην μὴ διαλέγεσθαι. ὁ δὲ Σωκράτης ὑπήρετο αὐτὰ, εἰ ἐξείη συνθέσθαι. εἴ τι ἀγνοοῖτο τῶν προηγορευμένων· τὰ δ' ἐφάτην. Ἐγὼ

---

tale aliquid audivi, neque de alio commemorante, quod audierit, comperi. Et *odium* manifestavit. Quippe quum Triginta viri complures cives, eosque non infimos, morte multassent, multosque ad injuste agendum impellerent; dixit forte Socrates, mirum videri sibi, si bubulcus quispiam, qui vaccas cum pauciores tum deteriores reddat, non malum se bubulcum esse fateatur; sed hoc magis mirum, si quis praeses civitatis factus, et cives pauciores deterioresque reddens, non erubescat, neque malum se civitatis praefectum esse putet. Quod quum ad eos renunciatum esset, arcessito Socrati Critias et Charicles non solum legem ostendunt, verum etiam, ne cum adolescentibus colloqueretur, interdicunt. At

τοίνυν, ἔφη, παρεσκεύασμαι μὲν πείθεσθαι τοῖς νόμοις· ὅπως δὲ μὴ δι' ἄγνοιαν λάθω τι παρανομήσας, τοῦτο βούλομαι σαφῶς μαθεῖν παρ' ὑμῶν, πότερον τὴν τῶν λόγων τέχνην σὺν τοῖς ὀρθῶς λεγομένοις εἶναι νομίζοντες, ἢ σὺν τοῖς μὴ ὀρθῶς, ἀπέχεσθαι κελεύετε αὐτῆς. εἰ μὲν γὰρ σὺν τοῖς ὀρθῶς, δῆλον ὅτι ἀφεκτέον εἴη τοῦ ὀρθῶς λέγειν· εἰ δὲ σὺν τοῖς μὴ ὀρθῶς, δῆλον ὅτι πειρατέον ὀρθῶς λέγειν. Καὶ ὁ Χαρικλῆς ἐργισθεὶς αὐτῷ, Ἐπειδή, ἔφη, ὦ Σώκρατες, ἀγνοεῖς, τάδε σοι εὐμαθέστερα ὄντα προαγορεύομεν, τοῖς νέοις ὅλως μὴ διαλέγεσθαι. Καὶ ὁ Σωκράτης, Ἵνα τοίνυν, ἔφη, μὴ ἀμφίβολον ᾖ, ὡς ἄλλο τι ποιῶ ἢ τὰ προηγορευμένα, ὁρίσασθέ μοι, μέχρι τόσων

Socrates interrogabat eos, ecquid in interdictis, quod non intelligeretur, quaereret liceret. Assentiunt illi. Ego igitur, inquit, legibus quidem parere sum paratus: verum, ne per ignorationem inscius transgrediar, scire de vobis aperte volo, utrum hanc disserendi artem inter ea esse censeatis, quae recte dicuntur, an quae non recte, quum ab illa abstinendum esse dicitis? Nam si inter illa quae recte dicuntur, patet, a recte dicendo abstinendum esse: sin vero sit inter ea quae non recte, patet conandum esse ut recte dicamus. Tum excandescens Charicles, Quando, inquit, ignoras hoc, Socrates, edicimus tibi quiddam intellectu facilius, cum adolescentibus non omnino colloqui. Et Socrates, Itaque ne sit ambigu-

Digitized by Google

ἐτῶν δεῖ νομίζειν νέους εἶναι τοὺς ἀνθρώπους. Καὶ ὁ Χαρικλῆς, Ὅσου περ, εἶπε, χρόνου βουλεύειν οὐκ ἔξεστιν, ὡς οὔπω φρονίμοις οὖσι· μηδὲ σὺ διαλέγου νεωτέροις τριάκοντα ἐτῶν. Μηδὲ ἄν τι ὠνῶμαι, ἔφη, ἢν πωλῇ νεώτερος τριάκοντα ἐτῶν, ἔρωμαι ὁπόσου πωλεῖ; Ναὶ τά γε τοιαῦτα, ἔφη ὁ Χαρικλῆς· ἀλλά τοι σύ γε, ὦ Σώκρατες, εἴωθας, εἰδὼς πῶς ἔχει τὰ πλεῖστα, ἐρωτᾶν. ταῦτα οὖν μὴ ἐρώτα. Μηδ' ἀποκρίνωμαι οὖν, ἔφη, ἄν τις με ἐρωτῶν τάχα ἐξετάσῃ, ποῦ οἰκεῖ Χαρικλῆς, ἢ ποῦ ἐστι Κριτίας; Ναὶ τά γε τοιαῦτα, ἔφη ὁ Χαρικλῆς. Ὁ δὲ Κριτίας, Ἀλλὰ τῶνδέ τοι σε ἀπέχεσθαι, ἔφη, δεήσει, ὦ Σώκρατες, τῶν

um, ait, an aliud faciam quam praescriptum sit; definite mihi, ad quot usque annos existimandum sit, homines esse adolescentes. Tum Charicles, Quousque, ait, senatoribus esse non licet, nimirum hominibus istis necdum prudentiam consequutis: nec tu cum iis colloquitor, qui annum trigesimum non attigere. Ne tunc quidem *Socrates* inquit, siquid emam ego, quod minor triginta annis vendit, quanti vendat, interrogabo? Ea vero quaerere licet, ait Charicles: sed soles tu Socrates, interrogare, cum scias quomodo se habeant plurima: itaque noli haec quaerere. Ergo non respondebo, inquit, siquis ex me interrogando exquireret, ubinam habitet Charicles, vel ubi sit Critias? Hujusmodi vero licet respondeas, ait Charicles. Critias autem, Ab iis abstinen-

Digitized by Google

σκυτέων, καὶ τῶν τεκτόνων, καὶ τῶν χαλκέων. καὶ γὰρ οἶμαι αὐτοὺς ἤδη κατατετρίφθαι διαθρυλλουμένους ὑπὸ σοῦ. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, καὶ τῶν ἑπομένων τούτοις, τοῦ τε δικαίου, καὶ τοῦ ὁσίου, καὶ τῶν ἄλλων τῶν τοιούτων. Ναὶ μὰ Δί', ἔφη ὁ Χαρικλῆς, καὶ τῶν βουκόλων γε· εἰ δὲ μὴ, φυλάττου ὅπως μὴ καὶ σὺ ἐλάττους τὰς βοῦς ποιήσῃς. Ἔνθα καὶ δῆλον ἐγένετο, ὅτι, ἀπαγγελθέντος αὐτοῖς τοῦ περὶ τῶν βοῶν λόγου, ὠργίζοντο τῷ Σωκράτει.

Οἷα μὲν οὖν ἡ συνουσία ἐγεγόνει Κριτίᾳ πρὸς Σωκράτην, καὶ ὡς εἶχον πρὸς ἀλλήλους, εἴρηται. Φαίην δ' ἂν ἔγωγε, μηδενὶ μηδεμίαν εἶναι παίδευσιν παρὰ τοῦ μὴ ἀρέσκοντος.

---

dum tibi est, Socrates, inquit, nimirum a sutoribus, et fabris, et aerariis artificibus. Etenim arbitror illos jam confici obtusos loquacitate tua. Ergo, subjecit Socrates, ab iis etiam abstinendum, quae consequuntur; a justo et pio, et iis, quae ab illis diversa sunt. Profecto, ait Charicles, etiam a bubulcis: quod nisi feceris, cave ne et ipse vaccas pauciores reddas. Hinc autem constat, renunciato ad ipsos sermone de vaccis, eos Socrati succensuisse.

Qualis itaque cum Socrate consuetudo fuerit Critiae, et quomodo alter ad alterum se habuerit, dictum est. Dixerim equidem, non posse ullum hominem ab ullo institui, qui non placeat. Critias autem et Alcibiades, versabantur illi qui-

Digitized by Google

Κριτίας δὲ καὶ Ἀλκιβιάδης, οὐκ ἀρέσκοντος αὐτοῖς Σωκράτους, ὠμιλησάτην, οὐ χρόνον ὠμιλείτην αὐτῷ, ἀλλ' εὐθὺς ἐξ ἀρχῆς ὡρμηκότε προεστάναι τῆς πόλεως. ἔτι γὰρ Σωκράτει συνόντες οὐκ ἄλλοις τισὶ μᾶλλον ἐπεχείρουν διαλέγεσθαι, ἢ τοῖς μάλιστα πράττουσι τὰ πολιτικά. Λέγεται γὰρ Ἀλκιβιάδην, πρὶν εἴκοσιν ἐτῶν εἶναι, Περικλεῖ, ἐπιτρόπῳ μὲν ὄντι ἑαυτοῦ, προστάτῃ δὲ τῆς πόλεως, τοιάδε διαλεχθῆναι περὶ νόμων· Εἰπέ μοι, φάναι, ὦ Περίκλεις, ἔχοις ἄν με διδάξαι, τί ἐστι νόμος; Πάντως δήπου, φάναι τὸν Περικλέα. Δίδαξον δὴ πρὸς τῶν θεῶν, φάναι τὸν Ἀλκιβιάδην· ὡς ἔγωγ' ἀκούων τινῶν ἐπαινουμένων, ὅτι νόμιμοι ἄνδρες εἰσὶν, οἶμαι μὴ ἂν

---

dem cum Socrate, qui eis non placebat, quamdiu ea consuetudo duravit: verum ita ut statim ab initio flagitarent civitati praeesse. Nam quo tempore Socrati familiares erant, non cum aliis disserere conabantur potius, quam qui rempublicam imprimis tractarent. Proditum est enim Alcibiadem, priusquam viginti natus esset annos, cum Pericle tutore suo, civitatis praeside, de legibus talia disseruisse: mi Pericles, ait, dicito mihi, possisne me, quid lex sit, docere? Omnino, inquit Pericles. Et Alcibiades; Ergo me, per Deos immortales, hoc doceto: quoniam ego laudari quosdam audiens quod legum observantes sint, arbitror non jure tribui laudem hanc illi, qui, quid lex sit, ignoret. Tu vero, mi

Digitized by Google

δικαίως τούτου τυχεῖν τοῦ ἐπαίνου τὸν μὴ εἰδότα, τί ἐστι νόμος. Ἀλλ' οὐδέν τι χαλεποῦ πράγματος ἐπιθυμεῖς, ὦ Ἀλκιβιάδη, φάναι τὸν Περικλέα, βουλόμενος γνῶναι, τί ἐστι νόμος. πάντες γὰρ οὗτοι νόμοι εἰσὶν, οὓς τὸ πλῆθος συνελθὸν καὶ δοκιμάσαν ἔγραψε, φράζον, ἅ, τε δεῖ ποιεῖν, καὶ ἃ μή. Πότερον δὲ τἀγαθὰ ἐνόμισαν δεῖν ποιεῖν, ἢ τὰ κακά; Τἀγαθὰ, νὴ Δία, φάναι, ὦ μειράκιον, τὰ δὲ κακὰ, οὔ. Ἐὰν δὲ μὴ τὸ πλῆθος, ἀλλ', ὥσπερ ὅπου ὀλιγαρχία ἐστὶν, ὀλίγοι συνελθόντες γράψωσιν, ὅ,τι χρὴ ποιεῖν, ταῦτα τί ἐστι; Πάντα, φάναι, ὅσα ἂν τὸ κρατοῦν τῆς πόλεως, βουλευσάμενον ἃ χρὴ ποιεῖν, γράψῃ, νόμος καλεῖται. Καὶ

Alcibiades, rem non difficilem flagitas, ait Pericles; qui cognoscere cupias, quid lex sit: Etenim omnes hae leges sunt, quas in unum conveniens et consentiens, vulgus conscripsit, declarans, quae facienda sint, quae non. Utrum autem ea facienda sanxerunt, quae bona sunt, an quae mala? Profecto bona, mi adolescentule, ait Pericles, minimeque mala. Jam si non vulgus, sed (uti paucorum in dominatu fit) pauci quidam congressi, quid faciendum sit, conscripserint, ea quid sunt? Omnia, inquit, quaecunque pars ea quae summam in republica potentiam obtinet, habita de iis quae agenda sint consultatione, scripserit, lex appellantur. Si ergo tyrannus etiam civitate potitus, quae civibus agenda sint, perscripse-

Digitized by Google

ἂν τύραννος οὖν κρατῶν τῆς πόλεως γράψῃ τοῖς πολίταις, ἃ χρὴ ποιεῖν, καὶ ταῦτα νόμος ἐστί; Καὶ ὅσα τύραννος ἄρχων, φάναι, γράφει, καὶ ταῦτα νόμος καλεῖται. Βία δὲ, φάναι, καὶ ἀνομία τί ἐστιν, ὦ Περίκλεις; ἆρ' οὐχ ὅταν ὁ κρείττων τὸν ἧττω μὴ πείσας, ἀλλὰ βιασάμενος, ἀναγκάσῃ ποιεῖν, ὅ,τι ἂν αὐτῷ δοκῇ; Ἔμοι γε δοκεῖ, φάναι τὸν Περικλέα. Καὶ ὅσα ἄρα τύραννος μὴ πείσας τοὺς πολίτας ἀναγκάζει ποιεῖν γράφων, ἀνομία ἐστί; Δοκεῖ μοι, φάναι τὸν Περικλέα· ἀνατίθεμαι γάρ τοι, ὅσα τύραννος μὴ πείσας γράφει, νόμον εἶναι. Ὅσα δὲ οἱ ὀλίγοι τοῖς πολλοῖς, μὴ πείσαντες, ἀλλὰ κρατοῦντες, γράφουσι, πότερον βίαν φῶμεν,

---

rit, num et ea lex sunt? Nimirum, ait, quaecunque tyrannus imperans perscribit, ea quoque lex appellantur. Quid autem, inquit *Alcibiades* vis est, et legum eversio, mi Pericles? an non quum fortior imbecilliorem, non persuadendo, sed vim adferendo, quodcunque sibi videatur, facere cogit? Ita mihi videtur, ait Pericles. Ergo quaecunque tyrannus, non persuasis civibus, perscribit, atque ut illi faciant, cogit, nonne legum sunt eversio? id mihi videtur, inquit Pericles: nam hoc retracto, nimirum legem esse, quaecunque tyrannus suis non persuasis scribat. Quae vero pauci, multitudine non persuasa, sed rerum potientes scribunt, num vim esse, vel non, dicemus? Tum Pericles, Videntur, in-

Digitized by Google

ἢ μὴ φῶμεν εἶναι; Πάντα μοι δοκεῖ, φάναι τὸν Περικλέα, ὅσα τις μὴ πείσας ἀναγκάζει τινὰ ποιεῖν, εἴτε γράφων, εἴτε μή, βία μᾶλλον ἢ νόμος εἶναι. Καὶ ὅσα ἄρα τὸ πᾶν πλῆθος κρατοῦν τῶν τὰ χρήματα ἐχόντων, γράφει μὴ πεῖσαν, βία μᾶλλον ἢ νόμος ἂν εἴη; Μάλα τοι, φάναι τὸν Περικλέα, ὦ Ἀλκιβιάδη. καὶ ἡμεῖς τηλικοῦτοι ὄντες, δεινοὶ τὰ τοιαῦτα ἦμεν· τοιαῦτα γὰρ καὶ ἐμελετῶμεν καὶ ἐσοφιζόμεθα, οἷάπερ καὶ σὺ νῦν ἐμοὶ δοκεῖς μελετᾷν. Τὸν δὲ Ἀλκιβιάδην φάναι· Εἴθε σοι, ὦ Περίκλεις, τότε συνεγενόμην, ὅτε δεινότατος σαυτοῦ ταῦτα ἦσθα!

Ἐπεὶ τοίνυν τάχιστα τῶν πολιτευομένων ὑπέλαβον κρείττονες εἶναι, Σωκράτει μὲν οὐκ

quit, illa omnia, quaecunque non persuadendo quis cogit aliquem facere, sive scribat ea, sive non, vis potius esse, quam lex. Ergo quaecunque plebs universa, iis superior qui locupletes sunt, non persuadendo scribit, vis erit potius quàm lex? Tum dixit Pericles: Nos etiam, mi Alcibiades, quum isthac aetate essemus, peracres in hujusmodi rebus eramus; nam et meditabamur ejusmodi et argutabamur, qualia tu mihi nunc meditari videris. Subjecit Alcibiades, Utinam, mi Pericles, id temporis tecum essem versatus, quum teipsum in his rebus superabas!

Ubi primum igitur se hi superiores esse arbitrabantur illis, qui rempublicam gerebant, non jam ad Socratem amplius accedebant, (quod is

Digitized by Google

ἔτι προσήεσαν· (οὔτε γὰρ αὐτοῖς ἄλλως ἤρεσκεν· εἴ τε προσέλθοιεν, ὑπὲρ ὧν ἡμάρτανον ἐλεγχόμενοι, ἤχθοντο) τὰ δὲ τῆς πόλεως ἔπραττον, ὥνπερ ἕνεκεν καὶ Σωκράτει προσῆλθον. Ἀλλὰ Κρίτων τε Σωκράτους ἦν ὁμιλητὴς, καὶ Χαιρεφῶν, καὶ Χαιρεκράτης, καὶ Σιμμίας, καὶ Κέβης, καὶ Φαίδων δὲ, καὶ ἄλλοι, οἳ ἐκείνῳ συνῆσαν, οὐχ ἵνα δημηγορικοὶ ἢ δικανικοὶ γένοιντο, ἀλλ' ἵνα καλοί τε κἀγαθοὶ γενόμενοι, καὶ οἴκῳ, καὶ οἰκέταις, καὶ οἰκείοις, καὶ φίλοις, καὶ πόλει, καὶ πολίταις δύναιντο καλῶς χρῆσθαι. καὶ τούτων οὐδεὶς, οὔτε νεώτερος οὔτε πρεσβύτερος ὤν, οὔτ' ἐποίησε κακὸν οὐδὲν, οὔτ' αἰτίαν ἔσχεν.

---

caeteroquin eis haud placeret: et si accederent, reprehendi se propter ea in quibus peccabant, graviter ferebant) sed reip. negotia capessebant, quae una causa fuerat, quamobrem ad Socratem accesserant. Crito autem, et Chaerephon, et Chaerecrates, et Simmias, et Cebes, et Phaedo, et alii pleriique Socrati familiares erant, qui cum eo conversabantur, non ut oratores vel causidici fierent; sed ut viri pulchri bonique studiosi evadentes, et domo, et domesticis, et propinquis, et amicis, civitateque ac civibus suis quam optime uti possint. Quorum quidem nemo neque dum junior esset, neque senior, mali quidpiam vel commisit, vel commisisse culpatus fuit.

Digitized by Google

Ἀλλὰ Σωκράτης γ', ἔφη ὁ κατήγορος, τοὺς πατέρας προπηλακίζειν ἐδίδασκε, πείθων μὲν τοὺς συνόντας αὐτῷ, σοφωτέρους ποιεῖν τῶν πατέρων, φάσκων δὲ, κατὰ νόμον ἐξεῖναι παρανοίας ἑλόντι καὶ τὸν πατέρα δῆσαι, τεκμηρίῳ τούτῳ χρώμενος, ὡς τὸν ἀμαθέστερον ὑπὸ τοῦ σοφωτέρου νόμιμον εἴη δεδέσθαι. Σωκράτης δὲ τὸν μὲν ἀμαθίας ἕνεκα δεσμεύοντα δικαίως ἂν καὶ αὐτὸν ᾤετο δεδέσθαι ὑπὸ τῶν ἐπισταμένων, ἃ μὴ αὐτὸς ἐπίσταται· καὶ τῶν τοιούτων ἕνεκα πολλάκις ἐσκόπει, τί διαφέρει μανίας ἀμαθία· καὶ τοὺς μὲν μαινομένους ᾤετο συμφερόντως ἂν δεδέσθαι καὶ αὐτοῖς καὶ τοῖς φίλοις, τοὺς δὲ μὴ ἐπισταμέ-

---

At enim Socrates, inquit accusator, patres contemnere docebat, dum persuaderet, se familiares suos patribus sapientiores effecturum; atque etiam diceret, lege permissum esse, ut aliquis patrem convictum amentiae devinciat: hoc argumento usus, quod imperitiorem a sapientiore vinciri jus esset. Imo vero Socrates, eum qui imperitiae causa quenquam ligasset, merito et ipsum vinciendum esse putabat ab iis qui, quod ipse ignoraret, scirent: adeoque saepenumero propter talia quid imperitia differat ab animi insanitate, dispiciebat: ac animo insanos quidem vinciri cum suo et amicorum emolumento putabat; inscios vero illorum

Digitized by Google

νους τὰ δέοντα, δικαίως ἂν μανθάνειν παρὰ τῶν ἐπισταμένων.

Ἀλλὰ Σωκράτης γε, ἔφη ὁ κατήγορος, οὐ μόνον τοὺς πατέρας, ἀλλὰ καὶ τοὺς ἄλλους συγγενεῖς ἐποίει ἐν ἀτιμίᾳ εἶναι παρὰ τοῖς αὐτῷ συνοῦσι, λέγων, ὡς οὔτε τοὺς κάμνοντας, οὔτε τοὺς δικαζομένους οἱ συγγενεῖς ὠφελοῦσιν, ἀλλὰ τοὺς μὲν οἱ ἰατροὶ, τοὺς δὲ οἱ συνδικεῖν ἐπιστάμενοι. Ἔφη δὲ καὶ περὶ τῶν φίλων αὐτὸν λέγειν, ὡς οὐδὲν ὄφελος εὖνους εἶναι, εἰ μὴ καὶ ὠφελεῖν δυνήσονται· μόνους δὲ φάσκειν αὐτὸν ἀξίους εἶναι τιμῆς τοὺς εἰδότας τὰ δέοντα, καὶ ἑρμηνεῦσαι δυναμένους. ἀναπείθοντα οὖν τοὺς νέους αὐτὸν, ὡς

---

quae sciri oporteret, merito debere ab iis discere, qui scirent.

At Socrates, inquit accusator, non solum ut patres, sed ut caeteri etiam cognati parvo in honore apud familiares ipsius essent, effecit; dicebat enim, propinquos nec illis esse usui, qui adversa valetudine laborarent, nec illis, quorum de re in judicio agitur; sed iis quidem prodesse medicos, his vero quotquot patrocinari scirent. Addebat etiam de amicis eum dicere, nihil esse commodi si benevoli sint, nisi possint etiam prodesse. Eos quoque solos dicere *Socratem* dignos honoribus esse, qui quae deceant sciant, et oratione possint explicare: quapropter ipsum, persuadendo adolescentibus se sapientissimum esse, ac

Digitized by Google

αὐτὸς εἴη σοφώτατός τε, καὶ ἄλλους ἱκανώτατος ποιῆσαι σοφοὺς, οὕτω διατιθέναι τοὺς αὑτῷ συνόντας, ὥστε μηδαμοῦ παρ' αὐτοῖς τοὺς ἄλλους εἶναι πρὸς ἑαυτόν. Ἐγὼ δ' αὐτὸν οἶδα μὲν καὶ περὶ πατέρων τε, καὶ τῶν ἄλλων συγγενῶν [τε,] καὶ περὶ φίλων ταῦτα λέγοντα· καὶ πρὸς τούτοις γε, διότι τῆς ψυχῆς ἐξελθούσης, ἐν ᾗ μόνῃ γίγνεται φρόνησις, τὸ σῶμα τοῦ οἰκειοτάτου ἀνθρώπου τὴν ταχίστην ἐξενέγκαντες ἀφανίζουσιν. Ἔλεγε δὲ, ὅτι καὶ ζῶν ἕκαστος ἑαυτοῦ, ὃ πάντων μάλιστα φιλεῖ, τοῦ σώματος ὅ, τι ἂν ἀχρεῖον ᾖ καὶ ἀνωφελὲς, αὐτός τε ἀφαιρεῖ, καὶ ἄλλῳ παρέχει. αὐτοί τε γὰρ αὐτῶν ὄνυχάς τε καὶ τρίχας καὶ τύλους ἀφαιροῦσι,

ad efficiundum alios sapientes maxime idoneum, sic affectos erga se reddidisse familiares suos, ut nequaquam apud eos alii cujusquam essent pretii, cum Socrate comparati. Ego vero memini eum de patribus, de propinquis caeteris, et de amicis haec dicere; ac praeter haec, quamobrem, posteaquam migraverit anima, in qua sola est prudentia, hominis etiam maxima necessitudine conjuncti corpus quamprimum elatum e conspectu auferant. Dicebat etiam quemlibet, dum in vivis est, de corpore suo, quod omnium maxime diligit, quicquid otiosum et inutile sit, tum per se tollere, tum aliis tollendum praebere. Nam homines ipsi suos ungues, capillos, callos tollunt; eosdemque medicis cum molestiis ac doloribus am-

Digitized by Google

καὶ τοῖς ἰατροῖς παρέχουσι μετὰ πόνων τε καὶ ἀλγηδόνων καὶ ἀποτέμνειν καὶ ἀποκάειν, καὶ τούτου χάριν οἴονται δεῖν αὐτοῖς καὶ μισθὸν τίνειν· καὶ τὸ σίαλον ἐκ τοῦ στόματος ἀποπτύουσιν ὡς δύνανται πορρωτάτω, διότι ὠφελεῖ μὲν οὐδὲν αὐτοὺς ἐνὸν, βλάπτει δὲ πολὺ μᾶλλον. Ταῦτα [μὲν] οὖν ἔλεγεν, οὐ τὸν μὲν πατέρα ζῶντα κατορύττειν διδάσκων, ἑαυτὸν δὲ κατατέμνειν, ἀλλ' ἐπιδεικνύων, ὅτι τὸ ἄφρον, ἄτιμόν ἐστι· καὶ παρεκάλει ἐπιμελεῖσθαι τοῦ ὡς φρονιμώτατον εἶναι καὶ ὠφελιμώτατον, ὅπως, ἐάν τε ὑπὸ πατρὸς, ἐάν τε ὑπὸ ἀδελφοῦ, ἐάν τε ὑπ' ἄλλου τινὸς βούληται τιμᾶσθαι, μὴ, τῷ οἰκεῖος εἶναι πιστεύων,

putandos deurendosque praebent, eaque de causa putant ipsis etiam se mercedem debere solvere. Salivam quoque quam possunt longissime ab ore exspuunt; quod dum ore continetur, non solum nihil prosit, sed multo magis etiam noceat. Haec igitur dicebat *Socrates* non quidem docens, patrem vivum sepeliendum esse, ac seipsum in frusta concidendum; sed demonstrans, quod quid insipiens, inglorium sit: Etiam hortabatur, ut studeat quisque quam prudentissimus fieri ac utilissimus: ut sive a patre quis, seu a fratre, seu alio quopiam honore affici velit, non idcirco negligens sit quod

Digitized by Google

ἀμελῆ, ἀλλὰ πειρᾶται, ὑφ' ὧν ἂν βούλοιτο τιμᾶσθαι, τούτοις ὠφέλιμος εἶναι.

Ἔφη δ' αὐτὸν ὁ κατήγορος καὶ τῶν ἐνδοξοτάτων ποιητῶν ἐκλεγόμενον τὰ πονηρότατα, καὶ τούτοις μαρτυρίοις χρώμενον, διδάσκειν τοὺς συνόντας κακούργους εἶναι καὶ τυραννικούς· Ἡσιόδου μὲν τὸ,

Ἔργον δ' ἐδὲν ὄνειδος, ἀεργείη δέ τ' ὄνειδος·

τοῦτο δὴ λέγειν αὐτὸν, ὡς ὁ ποιητὴς κελεύοι μηδενὸς ἔργου, μήτε ἀδίκου, μήτε αἰσχροῦ ἀπέχεσθαι, ἀλλὰ καὶ ταῦτα ποιεῖν ἐπὶ τῷ κέρδει. Σωκράτης δ' ἐπειδὴ ὁμολογήσαιτο, τὸ μὲν ἐργάτην εἶναι, ὠφέλιμόν τε ἀνθρώπῳ καὶ ἀγαθὸν εἶναι, τὸ δὲ ἀργὸν, βλαβερόν τε καὶ κακὸν, καὶ τὸ μὲν ἐργάζεσθαι ἀγαθὸν, τὸ

propinquum se credat, sed conetur, ut illis prosit, a quibus honorem consequi cupiat.

Praeterea dicebat accusator *Socratem* seligentem de Poëtis celeberrimis ea, quae essent pessima, eisque testimoniis utentem, docere familiares suos, ut facinorosi essent ac tyrannici: Hesiodi quidem illud,

Negotium nullum est opprobrium, otium autem opprobrium est:

Hoc illum sic exponere, quasi Poëta nullo jubeat ab opere, nec injusto, nec turpi abstinere, sed quaestus gratia haec quoque facere. At enim Socrates quum fateretur, ex usu hominis ac bonum esse, occupari labore; contraque, otiosum esse, noxium et malum: et operari, bonum; otiari, malum esse: quoscunque boni quid facere videret, eos operari dicebat, ac bonos esse operarios;

Digitized by Google

δὲ ἀργεῖν κακὸν, τοὺς μὲν ἀγαθόν τι ποιοῦντας ἐργάζεσθαί τε ἔφη, καὶ ἐργάτας ἀγαθοὺς εἶναι· τοὺς δὲ κυβεύοντας, ἢ τι ἄλλο πονηρὸν καὶ ἐπιζήμιον ποιοῦντας, ἀργοὺς ἀπεκάλει. ἐκ δὲ τούτων ὀρθῶς ἂν ἔχοι τὸ,

Ἔργον δ' ὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.

Τὸ δὲ Ὁμήρου ἔφη ὁ κατήγορος πολλάκις αὐτὸν λέγειν, ὅτι Ὀδυσσεὺς,

Ὅντινα μὲν βασιλῆα καὶ ἔξοχον ἄνδρα κιχείη,
Τόνδ' ἀγανοῖς ἐπέεσσιν ἰρητύσασκε παραστάς·
" Δαιμόνι', οὔ σε ἔοικε, κακὸν ὣς, δειδίσσεσθαι·
" Ἀλλ' αὐτός τε κάθησο, καὶ ἄλλους ἵδρυε λαούς."
Ὃν δ' αὖ δήμου τ' ἄνδρα ἴδοι, βοόωντά τ' ἐφεύροι,
Τὸν σκήπτρῳ ἐλάσασκε, ὀνοκλήσασκέ τε μύθῳ·
" Δαιμόνι', ἀτρέμας ἧσο, καὶ ἄλλων μῦθον ἄκουε,

---

qui vero talis luderent, vel aliud quidpiam pravi damnosique agerent, hos otiosos appellabat. Qua sententia recte se habet id,

Negotium nullum est opprobrium, otium autem opprobrium est.

Illud etiam Homeri dicebat accusator *Socratem* saepenumero proferre, quod Ulysses,

Quemcunque quidem, seu regem seu primarium virum, inveniret,
Hunc blandis verbis detinebat astans:
" *Vir optime, non te decet, timidum uti, trepidare;*
Quin ipse et sede, et alios sedere fac populos."
Quemcunque vero plebeium virum videret, vociferantemque offenderet,
Hunc sceptro percutiebat, increpitabatque voce;
" *Improbe, sede quieta sede, et aliorum verba audi,*

Digitized by Google

Οἳ σέο φέρτεροί εἰσι· σὺ δ' ἀπτόλεμος καὶ ἄναλκις,
Οὔτε ποτ' ἐν πολέμῳ ἐναρίθμιος, οὔτ' ἐνὶ βουλῇ."

ταῦτα δὴ αὐτὸν ἐξηγεῖσθαι, ὡς ὁ ποιητὴς ἐπαινοίη παίεσθαι τοὺς δημότας καὶ πένητας. Σωκράτης δ' οὐ ταῦτ' ἔλεγεν· (καὶ γὰρ ἑαυτὸν οὕτω γ' ἂν ᾤετο δεῖν παίεσθαι) ἀλλ' ἔφη, δεῖν τοὺς μήτε λόγῳ μήτε ἔργῳ ὠφελίμους ὄντας, μήτε στρατεύματι, μήτε πόλει, μήτε αὐτῷ τῷ δήμῳ, εἴ τι δέοι, βοηθεῖν ἱκανοὺς, ἄλλως τ' ἐὰν πρὸς τούτῳ καὶ θρασεῖς ὦσι, πάντα τρόπον κωλύεσθαι, κἂν πάνυ πλούσιοι τυγχάνωσιν ὄντες. Ἀλλὰ Σωκράτης γε, τἀναντία τούτων, φανερὸς ἦν καὶ δημοτικὸς καὶ φιλάνθρωπος ὤν. ἐκεῖνος γὰρ πολλοὺς ἐπιθυμητὰς καὶ ἀστοὺς καὶ ξένους λαβὼν,

---

Qui te praestantiores sunt: tu autem imbellis et invalidus,
Neque unquam in bello aestimatus, neque in concilio."

Haec vero eum sic interpretari, quasi Poëta probaret, si plebeii pauperesque caederentur. At vero Socrates minime ista dicebat, (nam illo pacto seipsum esse caedendum existimasset,) sed dicebat, eos qui nec oratione nec facto utiles essent, neque vel exercitui, vel civitati, vel ipsi etiam populo, si opus fuerit, possent succurrere, praesertim si adhaec sibi praefidant, omni modo coërcendos esse, quamvis ditissimi essent. Erat certe Socrates e contrario palam popularis et humanus. Nam quum multos sui studiosos tum cives tum exteros haberet, nullam unquam merce-

Digitized by Google

οὐδένα πώποτε μισθὸν τῆς συνουσίας ἐπράξατο, ἀλλὰ πᾶσιν ἀφθόνως ἐπήρκει τῶν ἑαυτοῦ· ὧν τινες μικρὰ μέρη, παρ' ἐκείνου προῖκα λαβόντες, πολλοῦ τοῖς ἄλλοις ἐπώλουν, καὶ οὐκ ἦσαν, ὥσπερ ἐκεῖνος, δημοτικοί. τοῖς γὰρ μὴ ἔχουσι χρήματα διδόναι οὐκ ἤθελον διαλέγεσθαι.

Ἀλλὰ Σωκράτης γε καὶ πρὸς τοὺς ἄλλους ἀνθρώπους κόσμον τῇ πόλει παρεῖχε, πολλῷ μᾶλλον ἢ Λίχας τῇ Λακεδαιμονίων, ὃς ὀνομαστὸς ἐπὶ τούτῳ γέγονε. Λίχας μὲν γὰρ ταῖς γυμνοπαιδίαις τοὺς ἐπιδημοῦντας ἐν Λακεδαίμονι ξένους ἐδείπνιζε· Σωκράτης δὲ διὰ παντὸς τοῦ βίου τὰ ἑαυτοῦ δαπανῶν, τὰ

---

dem consuetudinis exegit, sed omnibus abunde citraque invidiam sua communicabat; quorum exiguas quasdam partes nonnulli gratis ab eo consequuti, magno aliis vendebant, nec erant, ut ipse, populares: quippe cum iis, quibus ad largiendum pecunia deesset, disserere nolebant.

Socrates autem huic civitati apud alios homines etiam multo majus ornamentum conciliabat, quam Lichas Lacedaemoniorum civitati, qui eo nomine celeberrimus evasit. Nam ludis illis, qui a nudis exhibebantur, Lichas hospitibus Lacedaemonem peregre venientibus coenam praebere solebat: Socrates autem, quum per omnem vitam impenderet sua, plurimum omnibus non nolentibus proderat: Etenim eos,

Digitized by Google

μέγιστα πάντας τοὺς βουλομένους ὠφέλει· βελτίους γὰρ ποιῶν τοὺς συγγιγνομένους ἀπέπεμπεν. Ἐμοὶ μὲν δὴ Σωκράτης, τοιοῦτος ὢν, ἐδόκει τιμῆς ἄξιος εἶναι τῇ πόλει μᾶλλον ἢ θανάτου· καὶ κατὰ τοὺς νόμους δὲ σκοπῶν ἄν τις, τοῦθ' εὕροι. κατὰ γὰρ τοὺς νόμους, ἐάν τις φανερὸς γένηται κλέπτων, ἢ λωποδυτῶν, ἢ βαλαντιοτομῶν, ἢ τοιχωρυχῶν, ἢ ἀνδραποδιζόμενος, ἢ ἱεροσυλῶν, τούτοις θάνατός ἐστιν ἡ ζημία· ὧν ἐκεῖνος πάντων ἀνθρώπων πλεῖστον ἀπεῖχεν. Ἀλλὰ μὴν τῇ πόλει γε οὔτε πολέμου κακῶς συμβάντος, οὔτε στάσεως, οὔτε προδοσίας, οὔτε ἄλλου κακοῦ οὐδενὸς πώποτε αἴτιος ἐγένετο. οὐδὲ

---

qui ad ipsum accedebant, reddebat meliores, ac deinde dimittebat. Quamobrem mihi sane Socrates, qui talis esset, potius honorem de republica, quam mortem, meruisse videbatur: atque si leges etiam aliquis consideret, hoc ipsum inveniet. Nam secundum leges, si quis furari, vel grassando vestes auferre, vel crumenas incidere, vel parietes perfodere, vel plagium vel sacrilegium committere palam deprehendatur, talibus *flagitiis* mors est poena: a quibus hic longissime supra mortales omnes aberat. Neque vero civitati belli alicujus male cedentis, neque seditionis, neque proditionis, neque ullius unquam mali alterius auctor extitit: neque privatim quidem ullum hominem unquam vel

Digitized by Google

μὴν ἰδίᾳ γε οὐδένα πώποτε ἀνθρώπων οὔτε ἀγαθῶν ἀπεστέρησεν, οὔτε κακοῖς περιέβαλεν· ἀλλ' οὐδ' αἰτίαν τῶν εἰρημένων οὐδενὸς πώποτ' ἔσχε. Πῶς οὖν ἔνοχος ἂν εἴη τῇ γραφῇ, ὃς ἀντὶ μὲν τοῦ μὴ νομίζειν θεοὺς, (ὡς ἐν τῇ γραφῇ ἐγέγραπτο) φανερὸς ἦν θεραπεύων τοὺς θεοὺς μάλιστα τῶν ἄλλων ἀνθρώπων· ἀντὶ δὲ τοῦ διαφθείρειν τοὺς νέους, (ὃ δὴ ὁ γραψάμενος αὐτὸν ἠτιᾶτο) φανερὸς ἦν τῶν συνόντων τοὺς πονηρὰς ἐπιθυμίας ἔχοντας, τούτων μὲν παύων, τῆς δὲ καλλίστης καὶ μεγαλοπρεπεστάτης ἀρετῆς, ἣ πόλεις τε καὶ οἴκους εὖ οἰκοῦσι, προτρέπων ἐπιθυμεῖν; ταῦτα δὲ πράττων, πῶς οὐ μεγάλης ἄξιος ἦν τιμῆς τῇ πόλει;

---

bonis privavit, vel in mala conjecit: adeoque nullius horum, quae diximus, culpam unquam sustinuit. Quo igitur pacto ille accusationi obnoxius esset, qui pro eo, quod Deos esse non putaret, quemadmodum in actione perscriptum erat, palam Deos coluit studiosius quam homines caeteri: ac pro eo, quod adolescentes corrumperet, quando et hoc ei crimen Actor impingebat, palam eos ex familiaribus, qui pravis libidinibus flagrarent, ab iisdem cessare faciebat, ac ipsos ad pulcherrimae splendidissimaeque virtutis, qua tam civitates quam familias bene administrant, amorem incitabat? Atque haec quum faceret, quo pacto de civitate honorem non meruit maximum?

Digitized by Google

γ'. Ὡς δὲ δὴ καὶ ὠφελεῖν ἐδόκει μοι τοὺς ξυνόντας, τὰ μὲν ἔργῳ δεικνύων ἑαυτὸν οἷος ἦν, τὰ δὲ καὶ διαλεγόμενος, τούτων δὴ γράψω, ὁπόσα ἂν διαμνημονεύσω. τὰ μὲν τοίνυν πρὸς τοὺς θεοὺς φανερὸς ἦν καὶ ποιῶν καὶ λέγων, ἥπερ ἡ Πυθία ὑποκρίνεται τοῖς ἐρωτῶσι, πῶς δεῖ ποιεῖν ἢ περὶ θυσίας, ἢ περὶ προγόνων θεραπείας, ἢ περὶ ἄλλου τινὸς τῶν τοιούτων. ἥ τε γὰρ Πυθία νόμῳ πόλεως ἀναιρεῖ ποιοῦντας εὐσεβῶς ἂν ποιεῖν. Σωκράτης τε οὕτω καὶ αὐτὸς ἐποίει, καὶ τοῖς ἄλλοις παρῄνει· τοὺς δὲ ἄλλως πως ποιοῦντας περιέργους καὶ ματαίους ἐνόμιζεν εἶναι. Καὶ εὔχετο δὲ πρὸς τοὺς θεοὺς ἁπλῶς τἀγαθὰ

---

3. Quo autem modo mihi visus sit familiaribus suis prodesse, partim operibus demonstrans, qualis esset, partim colloquiis usus, horum conscribam, quaecunque meminero. Itaque divinis in rebus constabat eum et facere et loqui eo modo, quo Pythia respondet consulentibus, quid faciendum sit, vel de sacrificiis, vel de cultu majorum, vel de alia re quapiam, quae hujus sit generis. Nam Pythia respondet oraculo, Pie facturos, si ex instituto civitatis haec agant. At Socrates ita et ipse faciebat, et alios facere cohortabatur; eosque, qui aliter faciebant, superstitiosos et vanos esse censebat. Precabatur etiam Deos simpliciter, ut bona largirentur, cujusmodi res es-

Digitized by Google

διδόναι, ὡς τοὺς θεοὺς κάλλιστα εἰδότας, ὁποῖα ἀγαθά ἐστι· τοὺς δὲ εὐχομένους χρυσίον, ἢ ἀργύριον, ἢ τυραννίδα, ἢ ἄλλο τι τῶν τοιούτων, οὐδὲν διάφορον ἐνόμιζεν εὔχεσθαι, ἢ εἰ κυβείαν, ἢ μάχην, ἢ ἄλλο τι εὔχοιντο τῶν φανερῶς ἀδήλων, ὅπως ἀποβήσοιτο. Θυσίας δὲ θύων μικρὰς ἀπὸ μικρῶν, οὐδὲν ἠγεῖτο μειοῦσθαι τῶν ἀπὸ πολλῶν καὶ μεγάλων πολλὰ καὶ μεγάλα θυόντων. οὔτε γὰρ τοῖς θεοῖς ἔφη καλῶς ἔχειν, εἰ ταῖς μεγάλαις θυσίαις μᾶλλον, ἢ ταῖς μικραῖς ἔχαιρον, (πολλάκις γὰρ ἂν αὐτοῖς τὰ παρὰ τῶν πονηρῶν μᾶλλον, ἢ τὰ παρὰ τῶν χρηστῶν εἶναι κεχαρισμένα) οὔτ' ἂν τοῖς ἀνθρώποις ἄξιον εἶναι ζῆν, εἰ τὰ παρὰ τῶν πονηρῶν μᾶλλον ἦν

---

sent bonae. At qui aurum, vel argentum, vel tyrannidem, vel aliquid aliud hujusmodi a Diis peterent, non dissimile quid petere putabat, quam si aleam, vel praelium, vel quid aliud earum rerum peterent, quae omnino sunt obscurae, cujusmodi sunt eventum habiturae. Quumque de facultatibus exiguis exigua sacra faceret, nihilo se putabat minus praestare, quam ii qui de multis et magnis opibus multas et magnas hostias caederent. Etenim neque decere Deos hoc aiebat, ut magnis potius, quam exiguis sacrificiis gauderent, (alioquin eis improborum sacrificia saepius essent grata, quam bonorum) neque vitam mortalibus optandam esse, si

Digitized by Google

πεχαρισμένα τοῖς θεοῖς, ἢ τὰ παρὰ τῶν χρηστῶν. ἀλλ' ἐνόμιζε τοὺς θεοὺς ταῖς παρὰ τῶν εὐσεβεστάτων τιμαῖς μάλιστα χαίρειν. ἐπαινέτης δ' ἦν καὶ τοῦ ἔπους τούτου,

Καδδύναμιν δ' ἔρδειν ἱερ' ἀθανάτοισι θεοῖσι·

καὶ πρὸς φίλους δὲ, καὶ ξένους, καὶ πρὸς τὴν ἄλλην δίαιταν, καλὴν ἔφη παραίνεσιν εἶναι τὴν Καδδύναμιν ἔρδειν. Εἰ δέ τι δόξειεν αὐτῷ σημαίνεσθαι παρὰ θεῶν, ἧττον ἂν ἐπείσθη παρὰ τὰ σημαινόμενα ποιῆσαι, ἢ εἴ τις αὐτὸν ἔπειθεν ὁδοῦ λαβεῖν ἡγεμόνα τυφλὸν καὶ μὴ εἰδότα τὴν ὁδὸν, ἀντὶ βλέποντος καὶ εἰδότος. καὶ τῶν ἄλλων δὲ μωρίαν κατηγόρει, οἵτινες παρὰ τὰ παρὰ τῶν θεῶν σημαινόμενα

---

sacrificia scelestorum Diis essent acceptiora, quam bonorum. Nimirum existimabat Deos inprimis honoribus gaudere, qui ab hominibus maxime religiosis oblati essent. Laudabat et hoc carmen,

Pro facultatibus sacrificia immortalibus Diis offerre:

et aiebat hanc admonitionem, ut pro viribus agamus, ad amicos, ad hospites, ad reliquam vitae rationem, praeclaram esse. Quod si quid divinitus ei significari visum esset, difficilius persuaderi potuisset, ut praeter significata faceret, quam si quis ei suadere conatus sit, ut caecum et ignarum viae ducem pro vidente et gnaro acciperet. Et alios stultitiae accusabat, qui, praeter illa quae

Digitized by Google

ποιοῦσί τι, φυλαττόμενοι τὴν παρὰ τοῖς ἀνθρώποις ἀδοξίαν. αὐτὸς δὲ πάντ' ἀνθρώπινα ὑπερεώρα πρὸς τὴν παρὰ τῶν θεῶν ξυμβουλίαν.

Διαίτῃ δὲ τήν τε ψυχὴν ἐπαίδευσε καὶ τὸ σῶμα, ᾗ χρώμενος ἄν τις, εἰ μή τι δαιμόνιον εἴη, θαῤῥαλέως καὶ ἀσφαλῶς διάγοι, καὶ οὐκ ἂν ἀπορήσειε τοσαύτης δαπάνης. οὕτω γὰρ εὐτελὴς ἦν, ὥστ' οὐκ οἶδ' εἴ τις οὕτως ἂν ὀλίγα ἐργάζοιτο, ὥστε μὴ λαμβάνειν τὰ Σωκράτει ἀρκοῦντα. σίτῳ μὲν γὰρ τοσούτῳ ἐχρῆτο, ὅσον ἡδέως ἤσθιε· καὶ ἐπὶ τούτῳ οὕτως παρεσκευασμένος ἦει, ὥστε τὴν ἐπιθυμίαν τοῦ σίτου ὄψον αὐτῷ εἶναι. ποτὸν δὲ πᾶν ἡδὺ ἦν αὐτῷ, διὰ τὸ μὴ πίνειν, εἰ μὴ διψῴη.

---

a Diis significata essent, aliquid facerent, caventes malam apud homines existimationem: ipse res humanas omnes prae divinis consiliis aspernabatur.

Corpus et animam ea vivendi ratione castigabat, qua si quis utatur, nisi adsit aliquid divini operis, et confidenter et secure possit degere, nec tanto carere sumtu. Nam adeo frugalis erat, ut haud sciam, num quis lucrum tam exiguum labore suo facere possit, quod non Socrati sufficeret. Quippe cibi tantum sumebat, quantum jucunde comederet; et ad eum sic paratus accedebat, ut appetitus ei cibi esset obsonium. Etiam quivis potus ei gratus

Digitized by Google

Εἰ δέ ποτε κληθεὶς ἐθελήσειεν ἐπὶ δεῖπνον ἐλθεῖν, ὃ τοῖς πλείστοις ἐργωδέστατόν ἐστιν ὥστε φυλάξασθαι, τὸ ὑπὲρ τὸν καιρὸν ἐμπίπλασθαι, τοῦτο ῥᾳδίως πάνυ ἐφυλάττετο. τοῖς δὲ μὴ δυναμένοις τοῦτο ποιεῖν συνεβούλευε φυλάττεσθαι τὰ πείθοντα μὴ πεινῶντας ἐσθίειν, μηδὲ διψῶντας πίνειν. καὶ γὰρ τὰ λυμαινόμενα γαστέρας, καὶ κεφαλὰς, καὶ ψυχὰς, ταῦτ' ἔφη εἶναι. Οἴεσθαι δ' ἔφη ἐπισκώπτων καὶ τὴν Κίρκην ὗς ποιεῖν, τοιούτοις πολλοῖς δειπνίζουσαν· τὸν δὲ Ὀδυσσέα, Ἑρμοῦ τε ὑποθημοσύνῃ καὶ αὐτὸν ἐγκρατῆ ὄντα, καὶ ἀποσχόμενον τοῦ ὑπὲρ τὸν καιρὸν τῶν τοιούτων ἅπτεσθαι, διὰ ταῦτα οὐδὲ γενέ-

---

erat, propterea quod non biberet, nisi sitiret. Si vero nonnunquam invitatus ad coenam vellet accedere, tum id, quod difficillimum est plurimis, cavere scilicet, ne se repleant ultra modum, ipse perquam facile cavebat. Illis autem, qui hoc facere non possent, consilium dabat, ab iis ut sibi caverent, quae suadent non esurientes edere, et non sitientes bibere. Haec enim illa esse dicebat, quae et ventribus, et capitibus, et animis exitio sint. Arbitrari autem se jocose dicebat, Circem ex hominibus fecisse sues, quod multis talibus eos in coenis exciperet: Ulyssem vero partim Mercurii monitu, partim quod ipse temperans esset, seque cohibere pos-

Digitized by Google

σθαι ὖν. τοιαῦτα μὲν περὶ τούτων ἔπαιζεν, ἅμα σπουδάζων.

Ἀφροδισίων δὲ, παρήνει τῶν καλῶν ἰσχυρῶς ἀπέχεσθαι· οὐ γὰρ ἔφη ῥᾴδιον εἶναι τῶν τοιούτων ἁπτόμενον σωφρονεῖν. ἀλλὰ καὶ Κριτόβουλόν ποτε τὸν Κρίτωνος πυθόμενος, ὅτι ἐφίλησε τὸν Ἀλκιβιάδου υἱὸν καλὸν ὄντα, παρόντος τοῦ Κριτοβούλου ἤρετο Ξενοφῶντα. Εἰπέ μοι, ἔφη, ὦ Ξενοφῶν, οὐ σὺ Κριτόβουλον ἐνόμιζες εἶναι τῶν σωφρονικῶν ἀνθρώπων μᾶλλον ἢ τῶν θρασέων, καὶ τῶν προνοητικῶν μᾶλλον ἢ τῶν ἀνοήτων τε καὶ ῥιψοκινδύνων; Πάνυ μὲν οὖν, ἔφη ὁ Ξενοφῶν. Νῦν τοίνυν νόμιζε αὐτὸν θερμουργότατον εἶναι καὶ λεωργότατον. οὗτος κἂν εἰς μαχαίρας κυβιστή-

set, quo minus ultra modum hujusmodi attingeret, idcirco non factum fuisse suem. Atque hujusmodi de his serio simul ac joco proferebat.

Quod vero res venereas attinet, monebat, ut a formosis summopere abstineretur: nec enim esse dicebat facile, ut ejusmodi attingendo, animo quis sano utatur. Quinimo cum aliquando audiisset, quod Critobulus Critonis filius, Alcibiadis filium pulchrum osculatus esset, Xenophontem, praesente Critobulo, interrogabat: Dic mihi, mi Xenophon, non tu Critobulum existimabas potius eorum ex hominum esse numero, qui animo utuntur sano, quam qui sibi praefidunt; providumque potius quam amentem ac temerarium? omnino, inquit Xenophon. Nunc igitur

Digitized by Google

σειε, κἂν εἰς πῦρ ἅλλοιτο. Καὶ τί δὴ, ἔφη ὁ Ξενοφῶν, ἰδὼν ποιοῦντα, ταῦτα κατέγνωκας αὐτοῦ; Οὐ γὰρ οὗτος, ἔφη, ἐτόλμησε τὸν Ἀλκιβιάδου υἱὸν φιλῆσαι, ὄντα εὐπροσωπότατον καὶ ὡραιότατον; Ἀλλ' εἰ μέντοι, ἔφη ὁ Ξενοφῶν, τοιοῦτόν ἐστι τὸ ῥιψοκίνδυνον ἔργον, κἂν ἐγὼ δοκῶ μοι τὸν κίνδυνον τοῦτον ὑπομεῖναι. Ὦ τλῆμον, ἔφη ὁ Σωκράτης, καὶ τί ἂν οἴει παθεῖν καλὸν φιλήσας; ἆρ' οὐκ ἂν αὐτίκα μάλα δοῦλος μὲν εἶναι ἀντ' ἐλευθέρου, πολλὰ δὲ δαπανᾶν εἰς βλαβερὰς ἡδονὰς, πολλὴν δὲ ἀσχολίαν ἔχειν τοῦ ἐπιμεληθῆναί τινος καλοῦ κἀγαθοῦ, σπουδάσειεν δὲ ἀναγκασθῆναι, ἐφ' οἷς οὐδ' ἂν μαινόμενος σπουδάσειεν; Ὦ Ἡράκλεις, ἔφη ὁ Ξενοφῶν,

---

eum velim existimes fervidissimum in agendo esse, ac audacissimum; ita ut se vel in enses praecipitem dare, vel in ignem insilire audeat. Et quidnam, subjecit Xenophon, committentem vidisti, quod ita de ipso statuis? Annon hic ille est, ait, qui filium Alcibiadis, vultu elegantissimo praeditum, ac formosissimum, osculari ausus est? Enimvero si tale quid, inquit Xenophon, temerarium facinus est, etiam ipse videor id adire periculi posse. Miserum te, ait Socrates, quid eventurum tibi existimas, si pulchrum osculeris? annon subito pro libero servus esses? non multa in voluptates noxias impenderes? non occupatus esses, quo minus pulchrae alicui bonaeque rei operam dares? non in ea cogereris incumbere,

Digitized by Google

ὡς δεινήν τινα λέγεις δύναμιν τοῦ φιλήματος εἶναι. Καὶ τοῦτο, ἔφη ὁ Σωκράτης, θαυμάζεις; οὐκ οἶσθα, ἔφη, ὅτι τὰ φαλάγγια, οὐδ' ἡμιωβολιαῖα τὸ μέγεθος ὄντα, προσαψάμενα μόνον τῷ στόματι, ταῖς τε ὀδύναις ἐπιτρίβει τοὺς ἀνθρώπους, καὶ τοῦ φρονεῖν ἐξίστησι; Ναὶ μὰ Δί', ἔφη ὁ Ξενοφῶν· ἐνίησι γάρ τι τὰ φαλάγγια κατὰ τὸ δῆγμα. Ὦ μωρὲ, ἔφη ὁ Σωκράτης, τοὺς δὲ καλοὺς οὐκ οἴει φιλοῦντας ἐνιέναι τι, ὅ, τι σὺ οὐχ ὁρᾷς; οὐκ οἶσθ' ὅτι τοῦτο τὸ θηρίον, ὃ καλοῦσι καλὸν καὶ ὡραῖον, τοσούτῳ δεινότερόν ἐστι τῶν φαλαγγίων, ὅσῳ ἐκεῖνα μὲν ἁψάμενα, τοῦτο δὲ οὐδ' ἁπτόμενον, ἐάν τις αὐτὸ θεᾶται, ἐνίησί τι καὶ πάνυ πόρρωθεν τοιοῦτον, ὥστε

quae ne animo quidem insanus studiose curaverit? Acrem tu, mehercules, inquit Xenophon, inesse vim dicis osculo. Hoccine, inquit Socrates, tibi mirum est? an nescis phalangia, quae vix oboli dimidii magnitudinem aequant, tantum ori applicata, doloribus homines conficere, et mentis alienationem inducere? Ita est profecto, ait Xenophon: nam phalangia morsu ipso quiddam infigunt. O stulte, ait Socrates, annon existimas pulchros osculando quiddam infigere, quod tu non videas? an nescias, eam belluam, quam appellant pulchrum ac formosum, eo phalangiis esse acrius, quod illa quidem tangendo, haec vero ne tangens quidem, si modo spectetur, infigat etiam longo ex intervallo aliquid ejusmodi,

Digitized by Google

μαίνεσθαι ποιεῖν; ἴσως δὲ καὶ οἱ Ἔρωτες τοξόται διὰ τοῦτο καλοῦνται, ὅτι καὶ πόρρωθεν οἱ καλοὶ τιτρώσκουσιν. ἀλλὰ συμβουλεύω σοι, ὦ Ξενοφῶν, ὁπότ' ἂν ἴδῃς τινὰ καλὸν, φεύγειν προτροπάδην. σοὶ δὲ, ὦ Κριτόβουλε, συμβουλεύω ἀπενιαυτίσαι· μόλις γὰρ ἂν ἴσως ἐν τοσούτῳ χρόνῳ τὸ δῆγμα ὑγιὲς γένοιο. Οὕτω δὴ καὶ ἀφροδισιάζειν, τοὺς μὴ ἀσφαλῶς ἔχοντας πρὸς ἀφροδίσια, ᾤετο χρῆναι πρὸς τοιαῦτα, οἷα, μὴ πάνυ μὲν δεομένου τοῦ σώματος, οὐκ ἂν προσδέξαιτο ἡ ψυχὴ, δεομένου δὲ, οὐκ ἂν πράγματα παρέχοι. αὐτὸς δὲ πρὸς ταῦτα φανερὸς ἦν οὕτω παρεσκευασμένος, ὥστε ῥᾷον ἀπέχεσθαι τῶν

---

quod animo insanire faciat? Fortassis etiam Amores hac ipsa de causa sagittarii dicuntur, quod pulchri etiam longo ex intervallo vulnus infligant. Quamobrem, mi Xenophon, tibi consulo, ut ubi pulchrum videris, averso vultu fugias. Tibi vero, mi Critobule, hoc do consilii, ut anno toto peregrineris; nam vix fortasse tantum intra spatium ex hoc morsu convalueris. Sic nimirum *Socrates* eos rebus uti venereis, qui adversus talia muniti non essent, oportere putabat; cujusmodi anima non expeteret, si corpus illis non admodum egeret: sin egeret, negotia non facesserent. Atque ipsum constabat adversus haec adeo paratum fuisse, ut facilius a pulcherrimis ac formosissimis abstineret, quam caeteri a

Digitized by Google

καλλίστων καὶ ὡραιοτάτων, ἢ οἱ ἄλλοι τῶν αἰσχίστων καὶ ἀωροτάτων.

Περὶ μὲν δὴ βρώσεως καὶ πόσεως καὶ ἀφροδισίων οὕτω κατεσκευασμένος ἦν, καὶ ᾤετο οὐδὲν ἂν ἧττον ἀρκούντως ἥδεσθαι τῶν πολλὰ ἐπὶ τούτοις πραγματευομένων, λυπεῖσθαι δὲ πολὺ ἔλαττον.

δ'. Εἰ δέ τινες Σωκράτην νομίζουσιν (ὡς ἔνιοι γράφουσί τε καὶ λέγουσι περὶ αὐτοῦ τεκμαιρόμενοι) προτρέψασθαι μὲν ἀνθρώπους ἐπ' ἀρετὴν κράτιστον γεγονέναι, προαγαγεῖν δ' ἐπ' αὐτὴν οὐχ ἱκανόν· σκεψάμενοι, μὴ μόνον ἃ ἐκεῖνος κολαστηρίου ἕνεκα τοὺς πάντ' οἰομένους εἰδέναι ἐρωτῶν ἤλεγχεν, ἀλλὰ καὶ ἃ λέγων συνημέρευε τοῖς συνδιατρίβουσι, δο-

turpissimis maximeque deformibus.

Quod igitur cibum, potum, et res venereas attinet, ita se comparaverat, ac se nihil quidem minus ad satietatem delectari putabat, quam qui in his laborarent; et multo minus dolere.

4. Quod siqui Socratem putant, (ut et scribunt nonnulli de eo, et loquuntur, quibusdam argumentis inducti,) fuisse quidem excellentissimum ad impellendos homines ad virtutem, verum eo deducere non potuisse, ut in ea profectus aliquos faceret; considerent non modo quibus castigationis causa interrogationibus usus, illos, qui se omnia scire opinabantur, redarguebat: sed etiam ea, quae quotidie cum familiaribus disserebat; atque ita,

Digitized by Google

κιμαζόντων, εἰ ἱκανὸς ἦν βελτίους ποιεῖν τοὺς συνόντας.

Λέξω δὲ πρῶτον, ἃ ποτε αὐτοῦ ἤκουσα περὶ τοῦ δαιμονίου διαλεγομένου πρὸς Ἀριστόδημον, τὸν Μικρὸν ἐπικαλούμενον· καταμαθὼν γὰρ αὐτὸν οὔτε θύοντα τοῖς θεοῖς, οὔτε μαντικῇ χρώμενον, ἀλλὰ καὶ τῶν ποιούντων ταῦτα καταγελῶντα· Εἰπέ μοι, ἔφη, ὦ Ἀριστόδημε, ἔστιν οὕς τινας ἀνθρώπων τεθαύμακας ἐπὶ σοφίᾳ; Ἔγωγ', ἔφη. Καὶ ὅς, Λέξον ἡμῖν, ἔφη, τὰ ὀνόματα αὐτῶν. Ἐπὶ μὲν τοίνυν ἐπῶν ποιήσει Ὅμηρον ἔγωγε μάλιστα τεθαύμακα, ἐπὶ δὲ διθυράμβῳ Μελανιππίδην, ἐπὶ δὲ τραγῳδίᾳ Σοφοκλέα, ἐπὶ

---

periculum faciant, potueritne suos familiares meliores reddere.

Dicam autem primum, quae aliquando ex ipso audivi disserente de Deo ad Aristodemum, cognomento Parvum. Hunc enim quum accepisset, neque Diis sacrificare, [dum moliretur aliquid,] neque divinatione uti, atque etiam eos deridere, qui haec facerent: Dic mihi, ait, Aristodeme, suntne homines aliqui, quos sapientiae nomine sis admiratus? Equidem, ait. Dicito nobis, inquit *Socrates*, eorum nomina. Equidem, *respondit is*, Homerum in pangendis carminibus Epicis maxime admirari soleo; in Dithyrambo, Melanippidem: in Tragoedia, Sophoclem; in Statuaria, Polycletum; in Pictura, Zeuxim. Utri vero, *inquit*

Digitized by Google

δὲ ἀνδριαντοποιΐᾳ Πολύκλειτον, ἐπὶ δὲ ζωγραφίᾳ Ζεῦξιν. Πότερά σοι δοκοῦσιν οἱ ἀπεργαζόμενοι εἴδωλα ἄφρονά τε καὶ ἀκίνητα ἀξιοθαυμαστότεροι εἶναι, ἢ οἱ ζῶα ἔμφρονά τε καὶ ἐνεργά; Πολὺ, νὴ Δία, οἱ ζῶα, εἴπερ γε μὴ τύχῃ τινὶ, ἀλλὰ ὑπὸ γνώμης ταῦτα γίγνεται. Τῶν δὲ ἀτεκμάρτως ἐχόντων, ὅτου ἕνεκά ἐστι, καὶ τῶν φανερῶς ἐπ' ὠφελείᾳ ὄντων, πότερα τύχης καὶ πότερα γνώμης ἔργα κρίνεις; Πρέπει μὲν τὰ ἐπ' ὠφελείᾳ γιγνόμενα γνώμης εἶναι ἔργα. Οὐκοῦν δοκεῖ σοι ὁ ἐξ ἀρχῆς ποιῶν ἀνθρώπους, ἐπ' ὠφελείᾳ προσθεῖναι αὐτοῖς, δι' ὧν αἰσθάνονται, ἕκαστα, ὀφθαλμοὺς μὲν, ὥσθ' ὁρᾶν τὰ

Socrates, videntur tibi digni esse majori admiratione: num qui simulacra mentis et motus expertia perficiunt, an qui animalia mente et efficacitate praedita? Multo magis profecto miror auctores animalium, si quidem ea non forte fortuna, sed consilio facta sint. Utra vero vel fortunae, vel consilii judicas esse opera? num ea, de quibus assequi conjectura non licet, quanam de causa facta sint; an quae manifesto sunt ad utilitatem aliquam relata? Nimirum ea profecta esse a consilio convenit opera, quae utilitatis causa fiunt. Annon igitur tibi videtur is, qui ab initio fecit homines, utilitatis causa eis addidisse, per quae sensu perciperent singula: nimirum oculos, ut ea cernerent, quae cerni pos-

Digitized by Google

ὁρατὰ, ὦτα δὲ, ὥστ' ἀκούειν τὰ ἀκουστά; ὀσμῶν γε μὴν, εἰ μὴ ῥῖνες προσετέθησαν, τί ἂν ἡμῖν ὄφελος ἦν; τίς δ' ἂν αἴσθησις ἦν γλυκέων καὶ δριμέων καὶ πάντων τῶν διὰ στόματος ἡδέων, εἰ μὴ γλῶττα τούτων γνώμων ἐνειργάσθη; Πρὸς δὲ τούτοις, οὐ δοκεῖ σοι καὶ τόδε προνοίας ἔργῳ ἐοικέναι, τὸ, ἐπεὶ ἀσθενὴς μέν ἐστιν ἡ ὄψις, βλεφάροις αὐτὴν θυρῶσαι, ἃ, ὅταν μὲν αὐτῇ χρῆσθαί τι δέῃ, ἀναπετάννυται, ἐν δὲ τῷ ὕπνῳ συγκλείεται; ὡς δ' ἂν μηδὲ ἄνεμοι βλάπτωσιν, ἡθμὸν βλεφαρίδας ἐμφῦσαι, ὀφρῦσί τε ἀπογεισῶσαι τὰ ὑπὲρ τῶν ὀμμάτων, ὡς μηδ' ὁ ἐκ τῆς κεφαλῆς ἰδρὼς κακουργῇ· τὸ δὲ τὴν ἀκοὴν δέχεσθαι μὲν πάσας φωνὰς, ἐμπίπλασθαι δὲ

---

sunt: aures, ut audirent, quae audiri possunt? Odorum profecto, si nares additae non fuissent, quis nobis extitisset usus? Quinam sensus fuisset rerum dulcium, et acrium, et suavium illarum omnium, quae ore percipiuntur, si non lingua in nobis fuisset indita, quae harum est exploratrix? Praeterea non tibi videtur hoc quoque putandum esse Providentiae opus, quum oculus imbecillis sit, palpebris eum quasi foribus munire, quae, ubi visu opus est, aperiuntur; obrepente somno, clauduntur? Ut autem ne venti quidem nocerent, cilia quasi cribrum a natura inserere; ac superciliis, quasi suggrundiis, ea quae supra oculos sunt, tegere; ut ne sudor quidem de capite manans eos laederet: Hoc quoque

μήποτε· καὶ τοὺς μὲν πρόσθεν ὀδόντας πᾶσι ζώοις οἵους τέμνειν εἶναι, τοὺς δὲ γομφίους οἵους παρὰ τούτων δεξαμένους λεαίνειν· καὶ στόμα μὲν, δι' οὗ, ὧν ἐπιθυμεῖ τὰ ζῶα, εἰσπέμπεται, πλησίον ὀφθαλμῶν καὶ ῥινῶν καταθεῖναι· ἐπεὶ δὲ τὰ ἀποχωροῦντα δυσχερῆ, ἀποστρέψαι τοὺς τούτων ὀχετοὺς, καὶ ἀπενεγκεῖν, ἢ δυνατὸν προσωτάτω, ἀπὸ τῶν αἰσθήσεων· ταῦτα οὕτω προνοητικῶς πεπραγμένα ἀπορεῖς, πότερα τύχης ἢ γνώμης ἔργα ἐστίν; Οὐ μὰ τὸν Δί', ἔφη, ἀλλ' οὕτω γε σκοπουμένῳ πάνυ ἔοικε ταῦτα σοφοῦ τινὸς δημιουργοῦ καὶ φιλοζώου τεχνήματι. Τὸ δὲ ἐμφῦσαι μὲν ἔρωτα τῆς τεκνοποιΐας, ἐμφῦσαι δὲ ταῖς γεναμέναις ἔρωτα τοῦ ἐκτρέφειν, τοῖς δὲ

Providentiae opus autem voces omnes excipere, nunquam tamen repleri: dentesque anteriores omnibus animalibus ad secandum aptos esse, molares vero ad comminuendum, quae ab his acceperint: atque os, per quod ea, quae appetunt animalia, *in ventrem* immittuntur, juxta oculos et nares apponere: quumque molesta sunt quae per dejectiones excernuntur, canales horum avertere, ac ea auferre, quantum fieri potest, remotissime a sensibus: haec tam provide facta, dubitasne, utrum fortunae sint opera, an consilii? Minime profecto, inquit, sed mihi sic ea consideranti, sapientis cujusdam opificis, et animantium studiosi artificium prae se ferre videntur. Atque hoc etiam *opus Providentiae* cupiditatem

Digitized by Google

τραφεῖσι μέγιστον μὲν πόθον τοῦ ζῆν, μέγιστον δὲ φόβον τοῦ θανάτου; Ἀμέλει καὶ ταῦτα ἔοικε μηχανήμασί τινος ζῶα εἶναι βουλευσαμένου.

Σὺ δὲ σαυτὸν φρόνιμόν τι δοκεῖς ἔχειν; Ἐρώτα γοῦν, καὶ ἀποκρινοῦμαι. Ἄλλοθι δὲ οὐδαμοῦ οὐδὲν οἴει φρόνιμον εἶναι; καὶ ταῦτα, εἰδὼς ὅτι γῆς τε μικρὸν μέρος ἐν τῷ σώματι, πολλῆς οὔσης, ἔχεις, καὶ ὑγροῦ βραχὺ, πολλοῦ ὄντος, καὶ τῶν ἄλλων δήπου μεγάλων ὄντων ἑκάστου μικρὸν μέρος λαβόντι τὸ σῶμα συνήρμοσταί σοι· νῦν δὲ μόνον ἄρα οὐδαμοῦ ὄντα σε εὐτυχῶς πως δοκεῖς συναρπάσαι; καὶ τάδε ὑπερμεγέθη καὶ πλῆθος ἄπειρα δι' ἀφροσύνην τινὰ οὕτως οἴει εὐτάκτως

---

procreandae sobolis a natura inserere, ac matribus cupiditatem educandi, educatis maximum vitae desiderium, maximumque mortis metum: nimirum haec quoque videntur illius esse artificiis consentanea, qui, ut essent animalia, habito consilio constituerit.

Tu vero teipsum aliquid habere prudentiae putas: Interroga me, ac respondebo. Et nusquam alibi quicquam esse prudentiae? praesertim quum scias, quod exiguam terrae partem habeas in corpore, quum ea magna sit: quod partem exiguam habeashumoris, quum is multus sit: itemque de singulis rebus caeteris, quae magnae sunt, exiguam partem quum accepisses, ita deinde corpus tuum compactum fuit: mentem vero, quae sola nusquam

Digitized by Google

ἔχειν; Μὰ Δί· οὐ γὰρ ὁρῶ τοὺς κυρίους, ὥσπερ τῶν ἐνθάδε γιγνομένων τοὺς δημιουργούς. Οὐδὲ γὰρ τὴν σαυτοῦ σύ γε ψυχὴν ὁρᾷς, ἣ τοῦ σώματος κυρία ἐστίν· ὥστε, κατά γε τοῦτο, ἔξεστί σοι λέγειν, ὅτι οὐδὲν γνώμῃ, ἀλλὰ τύχῃ πάντα πράττεις. Καὶ ὁ Ἀριστόδημος, Οὗτοι, ἔφη, ἐγὼ, ὦ Σώκρατες, ὑπερορῶ τὸ δαιμόνιον, ἀλλ' ἐκεῖνο μεγαλοπρεπέστερον ἡγοῦμαι, ἢ ὡς τῆς ἐμῆς θεραπείας προσδεῖσθαι. Οὐκοῦν, ἔφη, ὅσῳ μεγαλοπρεπέστερον ἀξιοῖ σε θεραπεύειν, τοσούτῳ μᾶλλον τιμητέον αὐτό. Εὖ ἴσθι, ἔφη, ὅτι εἰ νομίζοιμι θεοὺς ἀνθρώπων τὶ φροντίζειν, οὐκ ἂν ἀμελοίην αὐτῶν. Ἔπειτ' οὐκ οἴει φροντί-

---

est, tibi videris forte fortuna feliciter arripuisse: et amplissima haec, numeroque infinita, uti opinaris, per dementiam aliquam in recto ordine disposita se habent. Ita profecto, inquit *Aristodemus*. Nam auctores non video, sicut earum rerum opifices cerno, quae heic fiunt. Nimirum tu ne tui quidem ipsius animam cernis, quae rerum in corpore potitur: ideoque, si ita velis, licet tibi dicere, nihil te judicio tuo facere, sed omnia fortuito. Tum Aristodemus, Ego, mi Socrates, inquit, Numen non sperno, sed arbitror id esse magnificentius, quam ut cultu meo indigeat. Imo, ait *Socrates*, quanto magnificentius tui curam habere dignatur, tanto magis a te colendum est. Equidem, inquit *Aristodemus*, scire te volo, non

Digitized by Google

ζειν, οἳ πρῶτον μὲν μόνον τῶν ζώων ἄνθρωπον ὀρθὸν ἀνέστησαν, (ἡ δὲ ὀρθότης καὶ προορᾶν πλεῖον ποιεῖ δύνασθαι, καὶ τὰ ὑπερθεν μᾶλλον θεᾶσθαι, καὶ ἧττον κακοπαθεῖν) καὶ ὄψιν, καὶ ἀκοὴν, καὶ στόμα ἐνεποίησαν. ἔπειτα τοῖς μὲν ἄλλοις ἑρπετοῖς πόδας ἔδωκαν, οἳ τὸ πορεύεσθαι μόνον παρέχουσιν, ἀνθρώπῳ δὲ καὶ χεῖρας προσέθεσαν, αἳ τὰ πλεῖστα, οἷς εὐδαιμονέστεροι ἐκείνων ἐσμὲν, ἐξεργάζονται· Καὶ μὴν γλῶττάν γε πάντων τῶν ζώων ἐχόντων, μόνην τὴν τῶν ἀνθρώπων ἐποίησαν οἵαν, ἄλλοτε ἀλλαχῇ ψαύουσαν τοῦ στόματος, ἀρθροῦν τε τὴν φωνὴν, καὶ σημαίνειν πάντα ἀλλήλοις, ἃ βουλόμεθα; τὸ δὲ καὶ τὰς τῶν ἀφροδισίων ἡδο-

me Deos neglecturum, si putarem eos in ulla re homines curare. Tu ergo curare ipsos res nostras non arbitraris, qui primo inter animalia caetera solum hominem erectum constituerunt (et habet hoc erecta figura, ut prospici longius possit, et melius superna spectari, et ut minus laedamur) atque etiam oculos, aures, atque os addiderint? Deinde caeteris quidem, quae humi repant, pedes dederunt, qui solum hoc eis praebent, ut incedere possint: homini vero etiam manus addiderunt, quae plurima perficiunt, ob quae illis beatiores sumus? Linguam vero quum animalia cuncta habeant, solam humanam ejusmodi condiderunt, ut ore alias alibi contacto, vocem articulet, omniaque significet, quaecunque sig-

νὰς τοῖς μὲν ἄλλοις ζώοις δοῦναι περιγράψαντας τοῦ ἔτους χρόνον, ἡμῖν δὲ συνεχῶς μέχρι γήρως ταῦτα παρέχειν;

Οὐ τοίνυν μόνον ἤρκεσε τῷ θεῷ τοῦ σώματος ἐπιμεληθῆναι, ἀλλ' (ὅπερ μέγιστόν ἐστι) καὶ τὴν ψυχὴν κρατίστην τῷ ἀνθρώπῳ ἐνέφυσε. τίνος γὰρ ἄλλου ζώου ψυχὴ πρῶτα μὲν θεῶν, τῶν τὰ μέγιστα καὶ κάλλιστα συνταξάντων, ἤσθηται ὅτι εἰσί; τί δὲ φῦλον ἄλλο ἢ ἄνθρωποι θεοὺς θεραπεύουσι; ποία δὲ ψυχὴ τῆς ἀνθρωπίνης ἱκανωτέρα προφυλάττεσθαι ἢ λιμὸν, ἢ δίψος, ἢ ψύχη, ἢ θάλπη, ἢ νόσοις ἐπικουρῆσαι, ἢ ῥώμην ἀσκῆσαι, ἢ πρὸς μάθησιν ἐκτονῆσαι, ἢ ὅσα ἂν ἀκούσῃ, ἢ

---

nificare nobis inter nos libeat? Jam, quod rei venereae voluptates animalibus caeteris ita dederint, ut certum anni tempus eis praescripserint, quum nobis per senectutem has continuo suppeditent?

Neque tamen satis hoc Deo fuit, ut corporis curam haberet: sed (quod maximum est) etiam praestantissimam animam hominis naturae dedit. Nam cujus alterius animalis anima deprehendit primum de Diis, qui haec amplissima longeque pulcherrima construxerunt, eos esse? Quod item aliud genus, praeter homines, Deos colit? Quaenam alia anima humanam superat in praecavenda fame, siti, frigoribus, caloribus, vel in medendis morbis, vel exercendo robore, vel ampliori doctrina comparanda, vel in eorum memoria retinenda, quaecunque vel audierit,

Digitized by Google

ἴδῃ, ἢ μάθῃ, ἱκανωτέρα ἐστὶ διαμεμνῆσθαι; Οὐ γὰρ πάνυ σοι κατάδηλον, ὅτι παρὰ τὰ ἄλλα ζῶα ὥσπερ θεοὶ ἄνθρωποι βιοτεύουσι, φύσει καὶ τῷ σώματι καὶ τῇ ψυχῇ κρατιστεύοντες; οὔτε γὰρ βοὸς ἂν ἔχων σῶμα, ἀνθρώπου δὲ γνώμην, ἠδύνατ' ἂν πράττειν, ἃ ἐβούλετο· οὔθ' ὅσα χεῖρας ἔχει, ἄφρονα δ' ἐστὶ, πλέον οὐδὲν ἔχει. σὺ δὲ ἀμφοτέρων τῶν πλείστου ἀξίων τετυχηκὼς, οὐκ οἴει σοῦ θεοὺς ἐπιμελεῖσθαι; ἀλλ' ὅταν τί ποιήσωσι, νομιεῖς αὐτοὺς σοῦ φροντίζειν; Ὅταν πέμπωσιν, (ὥσπερ σὺ φῂς πέμπειν αὐτοὺς) συμβούλους, ὅ, τι χρὴ ποιεῖν καὶ μὴ ποιεῖν. Ὅταν δὲ Ἀθηναίοις, ἔφη, πυνθανομένοις τι διὰ μαντικῆς φράζωσιν, οὐ καὶ σοὶ δοκεῖς φράζειν αὐ-

vel viderit, vel didicerit? An enim plane tibi manifestum non est, homines inter animalia caetera quasi Deos quosdam vivere, longe, ab ipsa natura, tum corpore tum anima caeteris praestantes? Nec enim si bovis haberet corpus, consilium autem hominis, facere, quae voluisset, potuisset: nec illa, quae manus quidem habent, sed prudentia carent, caeteris praestant. Tu vero, quum utrumque pretii longe maximi consequutus sis, non curare te Deos arbitraris? At quidnam quum fecerint, curam eos habere tui putabis? Quum miserint, *inquit Aristodemus*, quemadmodum tu dicis eos mittere, consiliarios eorum quae vel agenda, vel non agenda sint. Verum ubi quid Atheniensibus, inquit *Socrates*,

τούς; οὐδ' ὅταν τοῖς Ἕλλησι τέρατα πέμποντες προσημαίνωσιν, οὐδ' ὅταν πᾶσιν ἀνθρώποις; ἀλλὰ μόνον σὲ ἐξαιροῦντες ἐν ἀμελείᾳ κατατίθενται; Οἵῃ δ' ἂν τοὺς θεοὺς τοῖς ἀνθρώποις δόξαν ἐμφῦσαι, ὡς ἱκανοί εἰσιν εὖ καὶ κακῶς ποιεῖν, εἰ μὴ δυνατοὶ ἦσαν; καὶ ἀνθρώπους ἐξαπατωμένους τὸν πάντα χρόνον οὐδέποτ' ἂν αἰσθέσθαι; οὐχ ὁρᾷς, ὅτι τὰ πολυχρονιώτατα καὶ σοφώτατα τῶν ἀνθρωπίνων, πόλεις καὶ ἔθνη, θεοσεβέστατά ἐστι, καὶ αἱ φρονιμώτατα ἡλικίαι, θεῶν ἐπιμελέσταται; Ὦ γαθὲ, ἔφη, κατάμαθε, ὅτι καὶ ὁ σὸς νοῦς ἐνὼν τὸ σὸν σῶμα, ὅπως βούλεται, μεταχειρίζεται. οἴεσθαι οὖν χρὴ καὶ τὴν ἐν παντὶ

per divinationem consulentibus respondent, annon tibi quoque respondere putas? Non quum Graecis, quum hominibus universis portenta mittunt, quibus aliquid ante denuntiant; Te scilicet solum eximentes, extra curam suam collocant? Num arbitraris Deos hominibus opinionem a natura inseruisse, quod et beneficiis et poenis afficere possint, si non revera id possent? Et homines perpetuo deceptos horum nihil unquam sensisse? Non vides, quod quae inter res humanas et antiquitatis et sapientiae principatum tenent, nimirum civitates et nationes, divino cultui sint addictissimae; quodque hominum aetates prudentissimae res divinas maxime curent? Disce, inquit, o bone vir, etiam mentem tuam, dum inest corpori, ex arbitratu suo corpus gubernare.

Digitized by Google

φρόνησιν τὰ πάντα, ὅπως ἂν αὐτῇ ἡδὺ ᾖ, οὕτω τίθεσθαι· καὶ μὴ τὸ σὸν μὲν ὄμμα δύνασθαι ἐπὶ πολλὰ στάδια ἐξικνεῖσθαι, τὸν δὲ τοῦ θεοῦ ὀφθαλμὸν ἀδύνατον εἶναι ἅμα πάντα ὁρᾶν· μηδὲ τὴν σὴν μὲν ψυχὴν καὶ περὶ τῶν ἐνθάδε, καὶ περὶ τῶν ἐν Αἰγύπτῳ καὶ ἐν Σικελίᾳ δύνασθαι φροντίζειν, τὴν δὲ τοῦ θεοῦ φρόνησιν μὴ ἱκανὴν εἶναι ἅμα πάντων ἐπιμελεῖσθαι. Ἢν μέντοι, ὥσπερ ἀνθρώπους θεραπεύων γιγνώσκεις τοὺς ἀντιθεραπεύειν ἐθέλοντας, καὶ χαριζόμενος τοὺς ἀντιχαριζομένους, καὶ συμβουλευόμενος καταμανθάνεις τοὺς φρονίμους, οὕτω καὶ τῶν θεῶν πεῖραν λαμβάνῃς θεραπεύων, εἴ τι σοι θελήσουσι περὶ τῶν ἀδήλων

Quamobrem existimandum est, illam quoque prudentiam, quae est in hoc universo, sic omnia regere, quemadmodum ipsi gratum est: non oculum tuum ad multa usque stadia pertingere posse, et non posse Dei oculum simul omnia intueri: neque animam tuam tam de rebus, quae hic accidunt, quam de illis, quae in Ægypto, et Sicilia, cogitare posse; et non posse Dei sapientiam simul omnia cura sua complecti. Enimvero, quemadmodum animadvertis, dum homines colis, qui te vicissim colere velint; ac dum gratificaris, qui gratiam referunt; et dum consulis alios, quinam prudentes sint, perspicis; eodem modo, Deos etiam colendo si periculum feceris, an quid tibi velint iis de rebus, quae hominibus

ἀνθρώποις συμβουλεύειν, γνώσῃ τὸ θεῖον, ὅτι τοσοῦτον καὶ τοιοῦτόν ἐστιν, ὥσθ' ἅμα πάντα ὁρᾶν, καὶ πάντα ἀκούειν, καὶ πανταχοῦ παρεῖναι, καὶ ἅμα πάντων ἐπιμελεῖσθαι αὐτούς.

Ἐμοὶ μὲν ταῦτα λέγων οὐ μόνον τοὺς συνόντας ἐδόκει ποιεῖν, ὁπότε ὑπὸ τῶν ἀνθρώπων ὁρῶντο, ἀπέχεσθαι τῶν ἀνοσίων τε καὶ ἀδίκων καὶ αἰσχρῶν, ἀλλὰ καὶ ὁπότε ἐν ἐρημίᾳ εἶεν, ἐπείπερ ἡγήσαιντο μηδὲν ἄν ποτε, ὧν πράττοιεν, θεοὺς διαλαθεῖν.

5. Εἰ δὲ δὴ καὶ ἐγκράτεια καλόν τε κἀγαθον ἀνδρὶ κτῆμά ἐστιν, ἐπισκεψώμεθα, εἴ τι προὐβίβαζε λέγων εἰς ταύτην τοιάδε· Ὦ ἄνδρες, εἰ, πολέμου ἡμῖν γενομένου, βουλοί-

obscurae sunt, consilium dare; intelliges Numen tantum ac tale esse, ut omnia pariter videat, et audiat omnia, et ubique adsit, et pariter omnium curam gerat.

Haec quum diceret *Socrates*, mihi videbatur efficere, ut familiares sui a rebus impiis, injustis, et turpibus abstinerent, non solum quum ab hominibus conspicerentur, verum etiam quum in solitudine essent: quippe qui existimarent, nihil unquam eorum quae agerent, occultum esse Diis posse.

5. Quod si etiam temperantia possessio quaedam pulchra et bona est homini, dispiciamus, an aliquid proficeret, ita de ea disserens: Si bello nobis indicto, viri, aliquem vellemus eligere, per quem nos maxime salutem consequi, atque hostes

Digitized by Google

μεθα ἐλέσθαι ἄνδρα, ὑφ' οὗ μάλιστα ἂν αὐτοὶ μὲν σωζοίμεθα, τοὺς δὲ πολεμίους χειροίμεθα, ἆρ' ὅντιν' ἂν αἰσθανοίμεθα ἥττω γαστρὸς, ἢ οἴνου, ἢ ἀφροδισίων, ἢ πόνου, ἢ ὕπνου, τοῦτον αἱροίμεθα; καὶ πῶς ἂν οἰηθείημεν τὸν τοιοῦτον ἢ ἡμᾶς σῶσαι, ἢ τοὺς πολεμίους κρατῆσαι; Εἰ δ' ἐπὶ τελευτῇ τοῦ βίου γενόμενοι βουλοίμεθά τῳ ἐπιτρέψαι ἢ παῖδας ἄῤῥενας παιδεῦσαι, ἢ θυγατέρας παρθένους διαφυλάξαι, ἢ χρήματα διασῶσαι, ἆρ' ἀξιόπιστον εἰς ταῦθ' ἡγησαίμεθ' ἂν τὸν ἀκρατῆ; δούλῳ δ' ἀκρατεῖ ἐπιτρέψαιμεν ἂν ἢ βοσκήματα, ἢ ταμιεῖα, ἢ ἔργων ἐπίστασιν; διάκονον δὲ καὶ ἀγοραστὴν τοιοῦτον ἐθελήσαιμεν

---

in potestatem nostram redigere possemus; num aliquem legeremus, qui aut a gula, aut a vino, aut a rebus venereis, aut a labore, aut a somno vinci se pateretur? Et quinam statuere possemus, ejusmodi hominem vel saluti nostrae consulere, vel victoria de hostibus potiri posse? Itidem si vitae fine nobis imminente, committere vellemus alicui vel liberos mares erudiendos, vel filias virgines custodiendas, vel servandam pecuniam; num hominem intemperantem in his fide dignum esse putaremus? Et servo intemperanti num vel pecora, vel penum, vel ut operi praeesset, committeremus? Num ministrum, et obsonatorem ejusmodi vel gratis accipere vellemus? Enimvero si ne servum quidem intemperan-

Digitized by Google

ἂν προῖκα λαβεῖν; ἀλλὰ μὴν εἴ γε μηδὲ δοῦλον ἀκρατῆ δεξαίμεθ' ἄν, πῶς οὐκ ἄξιον αὐτόν γε φυλάξασθαι τοιοῦτον γενέσθαι; Καὶ γὰρ οὐχ ὥσπερ οἱ πλεονέκται τῶν ἄλλων ἀφαιρούμενοι χρήματα, ἑαυτοὺς δοκοῦσι πλουτίζειν, οὕτως ὁ ἀκρατὴς τοῖς μὲν ἄλλοις βλαβερὸς, ἑαυτῷ δ' ὠφέλιμος, ἀλλὰ κακοῦργος μὲν τῶν ἄλλων, ἑαυτοῦ δὲ πολὺ κακουργότερος· εἴ γε κακουργότατόν ἐστι, μὴ μόνον τὸν οἶκον τὸν ἑαυτοῦ φθείρειν, ἀλλὰ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν. Ἐν συνουσίᾳ δὲ τίς ἂν ἡσθείη τῷ τοιούτῳ, ἂν εἰδείη τῷ ὄψῳ τε καὶ τῷ οἴνῳ χαίροντα μᾶλλον ἢ τοῖς φίλοις, καὶ τὰς πόρνας ἀγαπῶντα μᾶλλον ἢ τοὺς ἑταίρους; ἆρά γε οὐ χρὴ πάντα ἄνδρα,

---

tem accepturi simus, qui non operae pretium sit cavere, ne quis ipse talis fiat? Etenim non ita, quemadmodum avari homines, qui, dum aliis pecunias auferunt, seipsos videntur collocupletare; sic et intemperans aliis quidem nocet, sibi vero ipsi prodest: sed ut aliis perniciosus est, ita sibi ipsi multo perniciosior: si quidem perniciosissimum est, non modo res suas familiares destruere, sed corpus etiam atque animam. Caeterum in consuetudine familiari quis ejusmodi homine delectetur, quem et de obsonio, et de vino majorem sciat voluptatem capere, quam ex amicis; magisque scorta diligere, quam socios? Nonne quemvis hominem, qui norit

Digitized by Google

ἡγησάμενον τὴν ἐγκράτειαν ἀρετῆς εἶναι κρηπῖδα, ταύτην πρῶτον ἐν τῇ ψυχῇ κατασκευάσασθαι; Τίς γὰρ ἄνευ ταύτης ἢ μάθοι τι ἂν ἀγαθὸν, ἢ μελετήσειεν ἀξιολόγως; ἢ τίς οὐκ ἂν ταῖς ἡδοναῖς δουλεύων αἰσχρῶς διατεθείη καὶ τὸ σῶμα καὶ τὴν ψυχήν; ἐμοὶ μὲν δοκεῖ, νὴ τὴν Ἥραν, ἐλευθέρῳ μὲν ἀνδρὶ εὐκτὸν εἶναι, μὴ τυχεῖν δούλου τοιούτου, δουλεύοντα δὲ ταῖς τοιαύταις ἡδοναῖς, ἱκετεύειν τοὺς θεοὺς, δεσποτῶν ἀγαθῶν τυχεῖν· οὕτω γὰρ ἂν μόνως ὁ τοιοῦτος σωθείη.

Τοιαῦτα δὲ λέγων, ἔτι ἐγκρατέστερον τοῖς ἔργοις ἢ τοῖς λόγοις ἑαυτὸν ἐπεδείκνυεν. οὐ γὰρ μόνον τῶν διὰ τοῦ σώματος ἡδονῶν ἐκράτει, ἀλλὰ καὶ τῆς διὰ τῶν χρημάτων, νομί-

temperantiam virtutis esse fundamentum, hanc primum in anima sua parare decet? Quis enim absque hac vel boni aliquid discat, vel exercitatione consequatur? Quis voluptatibus serviens non turpiter tum corpore tum anima affectus sit? Equidem ita profecto statuo, homini libero optandum esse, ut hujusmodi servum non consequatur; atque illi, qui voluptatibus ejusmodi servit, Deos esse obsecrandos, ut dominos bonos nanciscatur; nam hoc modo tantum vir talis salvus esse possit.

Talia quum diceret, longe se temperantiorem ipsa re, quam oratione, demonstrabat. Quippe non solum iis voluptatibus superior erat, quae corpore percipiuntur, sed etiam ea, quae ex opibus: existimabat

Digitized by Google

ζων τὸν παρὰ τοῦ τυχόντος χρήματα λαμβάνοντα, δεσπότην ἑαυτοῦ καθιστάναι, καὶ δουλεύειν δουλείαν οὐδεμιᾶς ἧττον αἰσχράν.

ς'. Ἄξιον δ' αὐτοῦ, καὶ ἃ πρὸς Ἀντιφῶντα τὸν σοφιστὴν διελέχθη, μὴ παραλιπεῖν. ὁ γὰρ Ἀντιφῶν ποτὲ βουλόμενος τοὺς συνουσιαστὰς αὐτοῦ παρελέσθαι, προσελθὼν τῷ Σωκράτει, παρόντων αὐτῶν, ἔλεξε τάδε. Ὦ Σώκρατες, ἐγὼ μὲν ᾤμην τοὺς φιλοσοφοῦντας εὐδαιμονεστέρους χρῆναι γίγνεσθαι. σὺ δέ μοι δοκεῖς τἀναντία τῆς σοφίας ἀπολελαυπέναι· ζῇς γοῦν οὕτως, ὡς οὐδ' ἂν εἷς δοῦλος ὑπὸ δεσπότῃ διαιτώμενος μείνειε. σιτία τε σιτῇ καὶ ποτὰ πίνεις τὰ φαυλότατα, καὶ ἱμάτιον ἠμφίεσαι οὐ μόνον φαῦλον, ἀλλὰ τὸ

---

enim, illum, qui a quopiam pecuniam acciperet, dominum sibi constituere, ac servitutem servire ulla alia turpiorem.

6. Fuerit autem operae pretium, ne illa quidem praeterire, quae cum Antiphonte Sapientiæ Professore disseruit. Antipho enim, quum aliquando familiares *Socrates* ab eo vellet abducere, ad Socratem accedens, ipsis etiam præsentibus, hac usus est oratione: arbitrabar ego, Socrates, eos, qui philosopharentur, feliciores fieri oportere: at tu mihi videris contraria quadam ratione fructum ex sapientia tua percepisse. Sic enim vivis, quo pacto si vel quivis servus sub domino victitaret, non maneret. Uteris cibo potuque vilissimo, neque tantum veste vili, sed eadem quoque per

αὐτὸ θέρους τε καὶ χειμῶνος, ἀνυπόδητός τε καὶ ἀχίτων διατελεῖς. Καὶ μὴν χρήματά γε οὐ λαμβάνεις, ἃ καὶ κτωμένους εὐφραίνει, καὶ κεκτημένους ἐλευθεριώτερόν τε καὶ ἥδιον ποιεῖ ζῆν. εἰ οὖν, ὥσπερ καὶ τῶν ἄλλων ἔργων οἱ διδάσκαλοι τοὺς μαθητὰς μιμητὰς ἑαυτῶν ἀποδεικνύουσιν, οὕτω καὶ σὺ τοὺς συνόντας διαθήσεις, νόμιζε κακοδαιμονίας διδάσκαλος εἶναι.

Καὶ ὁ Σωκράτης πρὸς ταῦτα εἶπεν, Δοκεῖς μοι, ἔφη, ὦ Ἀντιφῶν, ὑπειληφέναι με οὕτως ἀνιαρῶς ζῆν, ὥστε πέπεισμαι, σὲ μᾶλλον ἀποθανεῖν ἂν ἐλέσθαι, ἢ ζῆν, ὥσπερ ἐγώ. ἴθι οὖν ἐπισκεψώμεθα, τί χαλεπὸν ἤσθησαι τοῦ ἐμοῦ βίου; Πότερον ὅτι τοῖς μὲν λαμβάνου-

---

aestatem et hyemem indueris, et semper calceis tunicaque cares. Praeterea pecuniam non accipis, quae et comparantibus est voluptati, et iis qui jam compararunt, liberalius jucundiusque vivendi causam praebet. Quamobrem, si, quemadmodum reliquorum studiorum magistri discipulos suos imitatores sui efficiunt, tales tu quoque familiares tuos reddes; putare debes, infelicitatis te magistrum esse.

Ad ea Socrates; suspicari mihi videris, inquit, Antipho, tam aerumnosam me vitam degere, ut equidem persuasus sim, malle te mori, quam meo more vivere. Age igitur, dispiciamus quid in mea vita acerbi deprehenderis; an quod

σιν ἀργύριον ἀναγκαῖόν ἐστιν ἀπεργάζεσθαι τοῦτο, ἐφ' ᾧ ἂν μισθὸν λαμβάνωσιν, ἐμοὶ δὲ μὴ λαμβάνοντι οὐκ ἀνάγκη διαλέγεσθαι, ὧν ἂν μὴ βούλωμαι; ἢ τὴν δίαιτάν μου φαυλίζεις, ὡς ἧττον μὲν ὑγιεινὰ ἐσθίοντος ἐμοῦ ἢ σοῦ, ἧττον δὲ ἰσχὺν παρέχοντα; ἢ ὡς χαλεπώτερα πορίσασθαι τὰ ἐμὰ διαιτήματα τῶν σῶν, διὰ τὸ σπανιώτερά τε καὶ πολυτελέστερα εἶναι; ἢ ὡς ἡδίω σοι, ἃ σὺ παρασκευάζῃ, ὄντα, ἢ ἐμοί, ἃ ἐγώ; οὐκ οἶσθ', ὅτι ὁ μὲν ἥδιστα ἐσθίων, ἥκιστα ὄψου δεῖται, ὁ δὲ ἥδιστα πίνων, ἥκιστα τοῦ μὴ παρόντος ἐπιθυμεῖ ποτοῦ; Τά γε μὴν ἱμάτια οἶσθ' ὅτι οἱ μεταβαλλόμενοι ψύχους καὶ θάλπους ἕνεκα μεταβάλλονται, καὶ ὑποδήματα ὑποδοῦνται,

necesse sit, eos, qui pecuniam accipiunt, hoc ipsum præstare, cujus causa mercedem accipiunt: quum mihi mercedem nullam accipienti necesse non sit ad eum disserere, quem nolim? An vilem victum esse meum putas, qui minus salubribus vescar, ac tu, quaeque minus roboris suppeditent? An quod ea comparatu difficiliora putas esse, quibus ego vescor, quam quibus tu vesceris, quod et rariora sint, et majoris pretii? An ea, quae tu paras, tibi jucundiora esse, quam quae egomet mihi? Num ignoras, quod qui suavissime vescitur, minime indigeat obsonio; qui summa cum voluptate bibit, minime potum absentem desideret? Vestes quidem qui commutant, frigoris eas aestusque causa commutare nosti;

Digitized by Google

ὅπως μὴ διὰ τὰ λυποῦντα τοὺς πόδας κωλύωνται πορεύεσθαι. ἤδη οὖν ποτὲ ἤσθου ἐμὲ ἢ διὰ ψύχος μᾶλλόν του ἔνδον μένοντα, η διὰ θάλπος μαχόμενόν τῳ περὶ σκιᾶς, ἢ διὰ τὸ ἀλγεῖν τοὺς πόδας οὐ βαδίζοντα, ὅπου ἂν βούλωμαι; Οὐκ οἶσθ', ὅτι οἱ φύσει ἀσθενέστατοι τῷ σώματι, μελετήσαντες τῶν ἰσχυροτάτων ἀμελησάντων κρείττους τε γίγνονται πρὸς ἃ ἂν μελετῶσι, καὶ ῥᾷον αὐτὰ φέρουσιν; ἐμὲ δὲ ἄρα οὐκ οἴει, τῷ σώματι ἀεὶ τὰ συντυγχάνοντα μελετῶντα καρτερεῖν, πάντα ῥᾷον φέρειν σοῦ μὴ μελετῶντος; Τοῦ δὲ μὴ δουλεύειν γαστρὶ, μηδ' ὕπνῳ καὶ λαγνείᾳ, οἴει τι ἄλλο αἰτιώτερον εἶναι, ἢ τὸ ἕτερα ἔχειν τούτων ἡδίω, ἃ οὐ μόνον ἐν χρείᾳ

---

et calceis pedes muniunt, ne propter illa, quae pedes laedunt, iter faeere prohibeantur. Dic igitur, quaeso, si quando me comprehendisti, aut frigoris causa plus ullo alio domi manentem, aut aestus gratia pro umbra cum alio contendentem, aut propter pedum dolorem non prodire, quocunque vellem. An nescis, eos qui a natura sunt corporibus maxime imbecillis praediti, posteaquam se exercuerint, in iis ad quaecunque se exercuerint, robustissimos quosque, qui exercitationes neglexerint, superare, et ea facilius ferre? Me autem perpetuo memet exercentem, ut quae corpori accidant, ea perferam, nonne putas omnia ferre facilius, quam is, qui seipsum non exercet? An vero causam tu

Digitized by Google

ὄντα εὐφραίνει, ἀλλὰ καὶ ἐλπίδας παρέχοντα ὠφελήσειν ἀεί; καὶ μὴν τοῦτό γε οἶσθα, ὅτι οἱ μὲν οἰόμενοι μηδὲν εὖ πράττειν οὐκ εὐφραίνονται, οἱ δὲ ἡγούμενοι καλῶς προχωρεῖν αὐτοῖς ἢ γεωργίαν, ἢ ναυκληρίαν, ἢ ἄλλ' ὅ,τι ἂν τυγχάνωσιν ἐργαζόμενοι, ὡς εὖ πράττοντες εὐφραίνονται. Οἴει οὖν ἀπὸ πάντων τούτων τοσαύτην ἡδονὴν εἶναι, ὅσην ἀπὸ τοῦ ἑαυτόν τε ἡγεῖσθαι βελτίω γίγνεσθαι, καὶ φίλους ἀμείνους κτᾶσθαι; ἐγὼ τοίνυν διατελῶ ταῦτα νομίζων. ἐὰν δὲ δὴ φίλους ἢ πόλιν ὠφελεῖν δέῃ, ποτέρῳ ἂν εἴη πλείων σχολὴ τούτων ἐπιμελεῖσθαι, τῷ, ὡς ἐγὼ νῦν, ἢ τῷ, ὡς σὺ μακαρίζεις, διαιτωμένῳ; στρατεύοιτο δὲ πότερος ἂν ῥᾷον, ὁ μὴ δυνάμενος ἄνευ

aliam veriorem esse putas, quod gulae, somno, lasciviae non servio, quam quod his alia quaedam habeo suaviora, quae non solum in usu exhilarant; verum etiam hoc ipso, quod commodi perpetui spem faciant? Praeterea scis, eos homines qui nihil prospere sibi successurum existimant, non esse laetos: quum illi, qui praeclare sibi vel agriculturam, vel naviculatoriam, vel quid aliud, quo occupati sunt, succedere putant, quasi qui rebus utantur prosperis, voluptatem capiant. Tume vero de his omnibus tantum voluptatis percipi putas, quantum ex eo, quod aliquis seipsum meliorem reddi putat, et amicos meliores consequi? quod equidem nunquam non de me statuo. Jam si vel amici juvandi sint, vel ipsa civitas, cuinam plus otii fuerit ad ea procuranda? eine,

Digitized by Google

πολυτελοῦς διαίτης ζῇν, ἢ ᾧ τὸ παρὸν ἀρκοίη; ἐκπολιορκηθείη δὲ πότερος ἂν θάττον, ὁ τῶν χαλεπωτάτων εὑρεῖν δεόμενος, ἢ ὁ τοῖς ῥᾳστοις ἐντυγχάνειν ἀρκούντως χρώμενος; Ἔοικας, ὦ Ἀντιφῶν, τὴν εὐδαιμονίαν οἰομένῳ τρυφὴν καὶ πολυτέλειαν εἶναι· ἐγὼ δὲ νομίζω τὸ μὲν μηδενὸς δέεσθαι θεῖον εἶναι, τὸ δὲ ὡς ἐλαχίστων, ἐγγυτάτω τοῦ θείου· καὶ τὸ μὲν θεῖον, κράτιστον, τὸ δὲ ἐγγυτάτω τοῦ θείου, ἐγγυτάτω τοῦ κρατίστου.

Πάλιν δέ ποτε ὁ Ἀντιφῶν διαλεγόμενος τῷ Σωκράτει εἶπεν· Ὦ Σώκρατες, ἐγώ τοι σὲ μὲν δίκαιον νομίζω, σοφὸν δὲ οὐδ' ὁπωστιοῦν. δοκεῖς δέ μοι καὶ αὐτὸς τοῦτο γιγνώσκειν· οὐδένα γοῦν τῆς συνουσίας ἀργύριον

---

qui, ut ego, victitat; an qui illo modo, quem tu beatum praedicas? Uter facilius militiam perferat? Isne, qui nequit absque sumptuoso victu vivere, an cui satis est id quod adest? Uter citius expugnabitur? Isne, qui quod inventu difficilimum sit requirit; an qui eorum usu, quae facillime obvia sunt, abunde contentus est? Videris, Antipho, felicitatem deliciis ac sumptuoso apparatu metiri: ego vero arbitror, nulla re indigere, divinum esse; quam-paucissimis, proximum Dei naturae: ac divinum quidem quod sit, praestantissimum esse; quod autem divino proximum, id etiam praestantissimo proximum esse.

Rursus Antipho disserens aliquando cum Socrate, ait: Justum equidem esse te judico, mi Socrates: sapientem au-

Digitized by Google

πράττῃ. καίτοι τό γε ἱμάτιον, ἢ τὴν οἰκίαν, ἢ ἄλλο τι, ὧν κέκτησαι, νομίζων ἀργυρίου ἄξιον εἶναι, οὐδενὶ ἂν μὴ ὅτι προῖκα δοίης, ἀλλ' οὐδ' ἔλαττον τῆς ἀξίας λαβών. Δῆλον δὴ ὅτι εἰ καὶ τὴν συνουσίαν ᾧου τινὸς ἀξίαν εἶναι, καὶ ταύτης ἂν οὐκ ἔλαττον τῆς ἀξίας ἀργύριον ἐπράττου. δίκαιος μὲν οὖν ἂν εἴης, ὅτι οὐκ ἐξαπατᾷς ἐπὶ πλεονεξίᾳ, σοφὸς δὲ οὐκ ἄν, μηδενός γε ἄξια ἐπιστάμενος.

Ὁ δὲ Σωκράτης πρὸς ταῦτα εἶπεν, Ὦ Ἀντιφῶν, παρ' ἡμῖν νομίζεται, τὴν ὥραν καὶ τὴν σοφίαν ὁμοίως μὲν καλὸν, ὁμοίως δὲ αἰσχρὸν, διατίθεσθαι εἶναι. τήν τε γὰρ ὥραν ἐὰν μέν τις ἀργυρίου πωλῇ τῷ βουλομένῳ, πόρνον αὐτὸν ἀποκαλοῦσιν· ἐὰν δέ τις, ὃν ἂν

tem minime: quod etiam ipse mihi non videris ignorare. Nam a nemine mercedem exigis eo nomine quod tecum versetur. Atque si hancce vestem, vel domum, vel aliud quiddam, quod in bonis tuis est, pretio dignum esse putares; non dicam gratis, sed ne minori quidem accepto pretio, quam quanti ea res esset, dares. Itaque patet te, si existimares ullius esse pretii doctrinam tuam, ex dignitate ejus pecuniam exacturum. Sis ergo sane justus, quod ob avaritiam neminem decipis: nequaquam vero sapiens, quum nullius pretii sint ea, quae nosti.

Ad haec respondit Socrates: apud nos, Antipho, existimatur eodem modo posse aliquem et forma, et sapientia, vel honeste, vel turpiter uti. Nam

Digitized by Google

γνῷ καλόν τε κἀγαθὸν ἐραστὴν ὄντα, τοῦτον φίλον ἑαυτῷ ποιῆται, σώφρονα νομίζομεν. καὶ τὴν σοφίαν ὡσαύτως τοὺς μὲν ἀργυρίου τῷ βουλομένῳ πωλοῦντας, σοφιστὰς, [ὥσπερ πόρνους,] ἀποκαλοῦσιν· ὅστις δὲ, ὃν ἂν γνῷ εὐφυᾶ ὄντα, διδάσκων ὅ,τι ἂν ἔχῃ ἀγαθὸν, φίλον ποιῆται, τοῦτον νομίζομεν, ἃ τῷ καλῷ κἀγαθῷ πολίτῃ προσήκει, ταῦτα ποιεῖν. Ἐγὼ δ' οὖν καὶ αὐτὸς, ὦ Ἀντιφῶν, ὥσπερ ἄλλος τις ἢ ἵππῳ ἀγαθῷ, ἢ κυνὶ, ἢ ὄρνιθι ἥδεται, οὕτω καὶ ἔτι μᾶλλον ἥδομαι φίλοις ἀγαθοῖς, καὶ, ἐάν τι σχῶ ἀγαθὸν, διδάσκω, καὶ ἄλλοις συνίστημι, παρ' ὧν ἂν ἡγῶμαι ὠφελήσεσθαί τι αὐτοὺς εἰς ἀρετήν. καὶ τοὺς θησαυροὺς τῶν πάλαι σοφῶν ἀνδρῶν, οὓς ἐκεῖ-

---

quum aliquis formam pro pecunia cuivis volenti prostituit, impudicum appellant: si quis autem, quemcunque intellexerit rerum pulchrarum bonarumque amatorem esse, amicum sibi adjungat, hunc animo sanum ducimus. Itidem qui sapientiam pro pecunia cuivis volenti prostituunt, sophistas, quasi impudicos, vocant: quicunque vero illum, quem bona praeditum esse indole animadvertat, quicquid boni scit docens, amicum facit: hunc facere putamus, quod civi pulchri bonique studioso convenit. Quamobrem et ego, mi Antipho, perinde ac alius quisquam vel equo bono, vel cane, vel ave delectatur, sic bonis amicis potius delector; eosque, si quid

Digitized by Google

νοι κατέλιπον ἐν βιβλίοις γράψαντες, ἀνελίττων, κοινῇ σὺν τοῖς φίλοις διέρχομαι· καὶ, ἄν τι ὁρῶμεν ἀγαθὸν, ἐκλεγόμεθα, καὶ μέγα νομίζομεν κέρδος, ἐὰν ἀλλήλοις ὠφέλιμοι γιγνώμεθα. Ἐμοὶ μὲν δὴ ταῦτα ἀκούοντι ἐδόκει αὐτός τε μακάριος εἶναι, καὶ τοὺς ἀκούοντας ἐπὶ καλοκἀγαθίαν ἄγειν.

Καὶ πάλιν ποτὲ τοῦ Ἀντιφῶντος ἐρομένου αὐτὸν, πῶς ἄλλους μὲν ἡγοῖτο πολιτικοὺς ποιεῖν, αὐτὸς δὲ οὐ πράττοι τὰ πολιτικὰ, εἴπερ ἐπίσταιτο· Ποτέρως δ' ἄν, ἔφη, ὦ Ἀντιφῶν, μᾶλλον τὰ πολιτικὰ πράττοιμι, εἰ μόνος αὐτὰ πράττοιμι, ἢ εἰ ἐπιμελοίμην τοῦ ὡς πλείστους ἱκανοὺς εἶναι πράττειν αὐτά;

---

habeo boni, doceo, atque aliis commendo, a quibus nonnihil eos habituros adjumenti ad virtutem arbitror. Etiam thesauros priscorum sapientum, quos illi literis mandatos nobis reliquerunt, una cum amicis revolvens percurro: quod si quid in eis boni videmus, seligimus: magnique lucri loco ducimus, si amiciores invicem fiamus. Haec ego quum audirem, et ipsum *Socratem* beatum esse arbitrabar, et auditores suos ad pulchri bonique studium ducere.

Rursus quum interrogaret ipsum *Socratem* Antipho, quo pacto se alios rerum civilium peritos efficere putaret, quum ipse reipublicae negotia non attingeret, si quidem sciret: Utro, inquit, modo magis respublicas tracto, mi Antipho? an si solus id faciam, an vero si dem operam, ut plurimi ad ea tractanda sint idonei?

Digitized by Google

ζ'. Ἐπισκεψώμεθα δὲ, εἰ καὶ ἀλαζονείας ἀποτρέπων τοὺς συνόντας, ἀρετῆς ἐπιμελεῖσθαι προέτρεπεν. ἀεὶ γὰρ ἔλεγεν, ὡς οὐκ εἴη καλλίων ὁδὸς ἐπ' εὐδοξίαν, ἢ δι' ἧς ἄν τις ἀγαθὸς τοῦτο γένοιτο, ὃ καὶ δοκεῖν βούλοιτο. ὅτι δ' ἀληθῆ ἔλεγεν, ὧδε ἐδίδασκεν· Ἐνθυμώμεθα γὰρ, ἔφη, εἴ τις, μὴ ὢν, ἀγαθὸς αὐλητὴς δοκεῖν βούλοιτο, τί ἂν αὐτῷ ποιητέον εἴη; ἆρ' οὐ τὰ ἔξω τῆς τέχνης μιμητέον τοὺς ἀγαθοὺς αὐλητάς; καὶ πρῶτον μὲν, ὅτι ἐκεῖνοι σκεύη τε καλὰ κέκτηνται, καὶ ἀκολούθους πολλοὺς περιάγονται, καὶ τούτῳ ταῦτα ποιητέον· ἔπειτα, ὅτι ἐκείνους πολλοὶ ἐπαινοῦσι, καὶ τούτῳ πολλοὺς ἐπαινέτας παρασκευαστέον. ἀλλὰ μὴν ἔργον γε οὐδαμοῦ

7. Hoc quoque consideremus, an *Socrates* familiares suos a simulatione revocans, ad virtutis studium impulerit. Semper enim aiebat, viam ad gloriam meliorem nullam esse, quam qua bonus in re aliqua quis esset, ac non videri vellet: atque hoc ab se vere dici, sic docebat. Cogitemus enim, aiebat, si quispiam, quum tibicen bonus non sit, videri tamen velit, quid ei faciendum sit: Annon imitari bonos tibicines debet in iis quae extra artem posita sunt? ac primum quidem, quum illi instrumenta pulchra habeant, multosque pedissequos circumducant, etiam ipsi hoc faciendum: deinde quum multi eos laudent, etiam huic multi laudatores comparandi sunt. Verum res ipsa nullibi aggredienda est,

Digitized by Google

ληπτέον, ἢ εὐθὺς ἐλεγχθήσεται γελοῖος ὤν, καὶ σὺ μόνον αὐλητὴς κακὸς, ἀλλὰ καὶ ἄνθρωπος ἀλαζών. καίτοι πολλὰ μὲν δαπανῶν, μηδὲν δὲ ὠφελούμενος, πρὸς δὲ τούτοις κακοδοξῶν, πῶς οὐκ ἐπιπόνως τε καὶ ἀλυσιτελῶς καὶ καταγελάστως βιώσεται; Ὡσαύτως εἴ τις βούλοιτο στρατηγὸς ἀγαθὸς, μὴ ὤν, φαίνεσθαι, ἢ κυβερνήτης, ἐννοῶμεν, τί ἂν συμβαίνοι. ἆρ οὐκ ἄν, εἰ μὲν ἐπιθυμῶν τοῦ δοκεῖν ἱκανὸς εἶναι ταῦτα πράττειν, μὴ δύναιτο πείθειν, ταύτῃ λυπηρόν; εἰ δὲ πείσειεν, ἔτι ἀθλιώτερον· δῆλον γὰρ, ὅτι κυβερνᾶν τε κατασταθεὶς ὁ μὴ ἐπιστάμενος, ἢ στρατηγεῖν, ἀπολέσειεν ἄν, οὓς ἥκιστα βούλοιτο, καὶ αὐτὸς αἰσχρῶς τε καὶ κακῶς ἀπαλλάξειεν.

---

ne mox deprehendatur esse ridiculus homo, ac non modo tibicen malus, verum etiam simulator. At vero si sumptus magnos faciat, et utilitatem capiat nullam, ac praeterea male audiat, qui non et aerumnose et inutiliter et ridicule vivet? Eodem modo si quis, qui non esset, vel bonus imperator vel gubernator videri velit; quid eventurum sit, cogitemus. Annon ipsi molestum erit, si quum cupiat videri ad haec perficienda idoneus, aliis id persuadere non possit? ac si persuaserit, multo miserius est: constat enim, quod si aut gubernare constituatur, aut exercitum ducere, qui nescius horum est, perdet eos quos minime vellet; atque ipse turpiter ac foede ab incepto desistet.

Digitized by Google

Ὡσαύτως δὲ καὶ τὸ πλούσιον, καὶ τὸ ἀνδρεῖον καὶ τὸ ἰσχυρὸν, μὴ ὄντα, δοκεῖν, ἀλυσιτελὲς ἀπέφαινε. προστάττεσθαι γὰρ αὐτοῖς ἔφη μείζω ἢ κατὰ δύναμιν, καὶ μὴ δυναμένους ταῦτα ποιεῖν, δοκοῦντας ἱκανοὺς εἶναι, συγγνώμης οὐκ ἂν τυγχάνειν. Ἀπατεῶνα δ' ἐκάλει, οὐ τὸν μικρὸν μὲν, οὐδ' εἴ τις ἀργύριον ἢ σκεῦος παρά του πειθοῖ λαβὼν ἀποστερεῖ, πολὺ δὲ μέγιστον, ὅστις, μηδενὸς ἄξιος ὢν, ἐξηπατήκει, πείθων ὡς ἱκανὸς εἴη τῆς πόλεως ἡγεῖσθαι. ἐμοὶ μὲν οὖν ἐδόκει καὶ τοῦ ἀλαζονεύεσθαι ἀποτρέπειν τοὺς συνόντας τοιάδε διαλεγόμενος.

Eodem modo non expedire aiebat, si quis vel opulentus, vel fortis, vel robustus esse videretur, qui non esset. Nam his aiebat imperari majora ipsorum viribus, quumque praestare illa deinde non possint, quae posse videbantur, veniam minime consequi. Impostorem autem appellabat non qui aliquid exigui pretii, neque qui pecuniam, vel supellectilem ab aliquo persuaso accipiens, eum spoliaret; sed longe maximum, qui nullius homo pretii fefellisset alios, persuadendo quod idoneus esset civitati praeesse. Quae ita disserens, mihi quidem videbatur familiares suos etiam a simulatione revocare.

Digitized by Google

ΞΕΝΟΦΩΝΤΟΣ

ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ

ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΚΕΦ. ά.

ΕΔΟΚΕΙ δέ μοι καὶ τοιαῦτα λέγων προτρέπειν τοὺς συνόντας ἀσκεῖν ἐγκράτειαν πρὸς ἐπιθυμίαν βρωτοῦ, καὶ ποτοῦ, καὶ λαγνείας, καὶ ὕπνου, καὶ ῥίγους, καὶ θάλπους, καὶ πόνου. γνοὺς δέ τινα τῶν συνόντων ἀπολαστοτέρως

XENOPHONTIS

MEMORABILIUM

LIBER SECUNDUS.

CAP. I.

VIDEBATUR etiam mihi familiares suos ad exercendam temperantiam in cibi, et potus, et lasciviae, et somni, et frigoris, et aestus, et laboris appetitu, impellere, quoties hujusmodi diceret. Quippe quum de familiaribus quendam intempe-

Digitized by Google

ἔχοντα πρὸς τὰ τοιαῦτα, Εἰπέ μοι, ἔφη, ὦ Ἀρίστιππε, εἰ δέοι σε παιδεύειν παραλαβόντα δύο τῶν νέων, τὸν μὲν, ὅπως ἱκανὸς ἔσται ἄρχειν, τὸν δὲ, ὅπως μὴ ἀντιποιήσεται ἀρχῆς, πῶς ἂν ἑκάτερον παιδεύοις; βούλει σκοπῶμεν, ἀρξάμενοι ἀπὸ τῆς τροφῆς, ὥσπερ ἀπὸ τῶν στοιχείων; Καὶ ὁ Ἀρίστιππος ἔφη, Δοκεῖ γοῦν μοι ἡ τροφὴ ἀρχὴ εἶναι· οὐδὲ γὰρ ζώη γ' ἄν τις, εἰ μὴ τρέφοιτο. Οὐκοῦν τὸ μὲν βούλεσθαι σίτου ἅπτεσθαι, ὅταν ὥρα ἥκῃ, ἀμφοτέροις εἰκὸς παραγίγνεσθαι; Εἰκὸς γὰρ, ἔφη. Τὸ οὖν προαιρεῖσθαι τὸ κατεπεῖγον μᾶλλον πράττειν, ἢ τῇ γαστρὶ χαρίζεσθαι, πότερον ἂν αὐτῶν ἐθίζοιμεν; Τὸν εἰς τὸ ἄρχειν, ἔφη, νὴ Δία, παιδευό-

rantius se gerere accepisset: Dic mihi, ait, Aristippe, si te duos adolescentes tibi traditos instituere oporteat; alterum, ut ad imperandum sit idoneus, alterum, ut imperare nunquam cupiat: quo pacto utrumque institues? Vis dispiciamus a nutrimento, tanquam ab ipsis elementis, incipientes? Et Aristippus, Nimirum mihi videtur, ait, nutrimentum esse principium. Nam ne quis quidem vixerit, si non nutriatur. Ergo consentaneum est utrisque accidere, ut, ubi tempus adest, cibum sumere velint? Consentaneum, ait. Utrum igitur horum consuefacere possimus, ut potius eligat rem urgentem conficere, quam gulae gratificari? Eum profecto, inquit, qui ad imperandum instituitur, ne durante ipsius im-

Digitized by Google

μενον, ὅπως μὴ τὰ τῆς πόλεως ἄπρακτα γίγνηται παρὰ τὴν ἐκείνου ἀρχήν. Οὐκοῦν, ἔφη, καὶ ὅταν πιεῖν βούλωνται, τὸ δύνασθαι διψῶντα ἀνέχεσθαι τῷ αὐτῷ προσθετέον; Πάνυ μὲν οὖν, ἔφη. Τὸ δὲ ὕπνου ἐγκρατῆ εἶναι, ὥστε δύνασθαι καὶ ὀψὲ κοιμηθῆναι, καὶ πρωὶ ἀναστῆναι, καὶ ἀγρυπνῆσαι, εἴ τι δέοι, ποτέρῳ ἂν προσθείημεν; Καὶ τοῦτο, ἔφη, τῷ αὐτῷ. Τί δέ; ἔφη, τὸ ἀφροδισίων ἐγκρατῆ εἶναι, ὥστε μὴ διὰ ταῦτα κωλύεσθαι πράττειν, εἴ τι δέοι; Καὶ τοῦτο, ἔφη, τῷ αὐτῷ. Τί δέ; τὸ μὴ φεύγειν τοὺς πόνους, ἀλλὰ ἑκουσίως ὑπομένειν, ποτέρῳ ἂν προσθείημεν; Καὶ τοῦτο, ἔφη, τῷ ἄρχειν παιδευομένῳ. Τί δέ; τὸ μαθεῖν, εἴ τι ἐπι-

---

perio negotia civitatis infecta sint. Ergo, subjecit *Socrates*, etiam quum bibere volent, eidem hoc imponendum, ut sitim perferre possit? Omnino vero, ait. At in somno capiendo temperantem esse, ut et sero dormire possit, et primo diluculo surgere, et vigilare, si opus sit, utri attribuere debemus? Etiam hoc eidem, ait. Quid vero, inquit, veneréis in rebus temperantem esse, ut per eas non impediatur id agere, quod opus sit? Etiam hoc eidem, inquit. Quid autem? labores non fugere, sed sponte sua perferre, utri attribuere debemus? Hoc itidem illi, ait, qui ad imperandum instituitur. Quid? si qua disciplina sit ad vincendos hostes idonea, eam-

Digitized by Google

τήδειόν ἐστι μάθημα πρὸς τὸ κρατεῖν τῶν ἀντιπάλων, ποτέρῳ ἂν προσεῖναι μᾶλλον πρέποι; Πολὺ, νὴ Δί', ἔφη, τῷ ἄρχειν παιδευομένῳ· καὶ γὰρ καὶ τῶν ἄλλων οὐδὲν ὄφελος ἄνευ τῶν τοιούτων μαθημάτων.

Οὐκοῦν ὁ οὕτω πεπαιδευμένος ἧττον ἂν δοκεῖ σοι ὑπὸ τῶν ἀντιπάλων, ἢ τὰ λοιπὰ ζῶα, ἁλίσκεσθαι; τούτων γὰρ δήπου τὰ μὲν γαστρὶ δελεαζόμενα, καὶ μάλα ἔνια δυσωπούμενα, ὅμως τῇ ἐπιθυμίᾳ τοῦ φαγεῖν ἀγόμενα πρὸς τὸ δέλεαρ, ἁλίσκεται· τὰ δὲ κατῳ ἐνεδρεύεται. Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ ἄλλα ὑπὸ λαγνείας, οἷον οἵ τε ὄρτυγες καὶ οἱ πέρδικες, πρὸς τὴν τῆς θηλείας φωνὴν τῇ ἐπιθυμίᾳ καὶ τῇ ἐλπίδι τῶν ἀφροδισίων φερόμενοι,

---

dem discere, utri magis convenit? Multis profecto, ait, modis ei, qui ad imperandum instituitur. Nam neque aliarum rerum usus ullus est absque hujusmodi disciplinis.

Ergo qui sic institutus est, minus tibi videtur ab adversariis posse capi, quam animalia caetera? quorum scilicet quaedam a gula inescata, tametsi nonnulla etiam valde timida sint, nihilominus vescendi cupiditate ad escam ducta capiuntur: aliis per potum insidiae struuntur. Prorsus ita est, inquit. Itaque alia prae lascivia, velut coturnices ac perdices, ad femellae vocem cupiditate speque rei venereae agitata, et ejecta cogitatione de periculis, in casses incidunt? Concessit et haec. Ergo tibi videtur turpe homini esse ei-

Digitized by Google

καὶ ἐξιστάμενοι τοῦ τὰ δεινὰ ἀναλογίζεσθαι, τοῖς θηράτροις ἐμπίπτουσι; Συνέφη καὶ ταῦτα. Οὐκοῦν δοκεῖ σοι αἰσχρὸν εἶναι ἀνθρώπῳ, ταὐτὰ πάσχειν τοῖς ἀφρονεστάτοις τῶν θηρίων; ὥσπερ οἱ μοιχοὶ εἰσέρχονται εἰς τὰς εἰρκτὰς, εἰδότες ὅτι κίνδυνος τῷ μοιχεύοντι, ἅ, τε ὁ νόμος ἀπειλεῖ, παθεῖν, καὶ ἐνεδρευθῆναι, καὶ ληφθέντα ὑβρισθῆναι. καὶ τηλικούτων μὲν ἐπικειμένων τῷ μοιχεύοντι κακῶν τε καὶ αἰσχρῶν, ὄντων δὲ πολλῶν τῶν ἀπολυσόντων τῆς τῶν ἀφροδισίων ἐπιθυμίας ἐν ἀδείᾳ, ὅμως εἰς τὰ ἐπικίνδυνα φέρεσθαι, ἆρ' οὐκ ἤδη τοῦτο παντάπασι κακοδαιμονῶντός ἐστιν; Ἔμοι γε δοκεῖ, ἔφη.

Τὸ δὲ εἶναι μὲν τὰς ἀναγκαιοτάτας πλείστας πράξεις τοῖς ἀνθρώποις ἐν ὑπαίθρῳ,

---

dem pati quae animalia imprudentissima? sicut adulteri Gynaeceum ingrediuntur, quum sciant esse adulterium committenti periculum ea perpetiendi, quae lex minitatur, et insidias strui, et captum contumeliosa injuria affici. Tanta quum adultero immineant et mala et dedecora, multaque sint, quae a rerum venerearum cupiditate liberare possint, nihilominus in pericula praeceps fertur. Annon igitur hoc omnino hominis est a malo genio perciti? Ita mihi videtur, ait.

Jam quum plurimae sint maximeque necessariae res sub dio peragendae hominibus, (veluti res bellicae, agricolarum,

Digitized by Google

(οἷον τάς τε πολεμικὰς, καὶ τὰς γεωργικὰς, καὶ τῶν ἄλλων οὐ τὰς ἐλαχίστας) τοὺς δὲ πολλοὺς ἀγυμνάστως ἔχειν πρός τε ψύχη καὶ πρὸς θάλπη, οὐ δοκεῖ σοι πολλὴ ἀμέλεια εἶναι; Συνέφη καὶ τοῦτο. Οὐκοῦν δοκεῖ σοι τὸν μέλλοντα ἄρχειν ἀσκεῖν δεῖν καὶ ταῦτα εὐπετῶς φέρειν; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν, εἰ τοὺς ἐγκρατεῖς τούτων ἁπάντων εἰς τοὺς ἀρχικοὺς τάττομεν, τοὺς ἀδυνάτους ταῦτα ποιεῖν εἰς τοὺς μηδ' ἀντιποιησομένους τοῦ ἄρχειν τάξομεν; Συνέφη καὶ τοῦτο. Τί οὖν; ἐπειδὴ καὶ τούτων ἑκατέρου τοῦ φύλου τὴν τάξιν οἶσθα, ἤδη ποτ' ἐπεσκέψω, εἰς ποτέραν τῶν τάξεων τούτων σαυτὸν δικαίως ἂν τάττοις; Ἔγωγ', ἔφη ὁ Ἀρίστιππος, καὶ

aliaeque non paucae;) multos interim ad frigora et aestus exercitos non esse, non tibi magnus esse videtur neglectus exercitationis? Concessit etiam hoc *Aristippus*. Ergo tibi videtur, *inquit Socrates*, exercendus is, qui velit imperare, ut haud difficulter haec quoque tolleret? Omnino, ait. Ergo si homines in rebus hisce omnibus temperantes inter viros ad imperandum comparatos ponemus, nonne illos qui haec praestare non possunt, inter eos collocabimus, qui de imperando ne quidem cogitent? Hoc etiam concessit *Aristippus*. Quid igitur? quandoquidem utriusque generis ordinem nosti, jamne aliquando considerasti, utrum ad ordinem horum merito teipsum referre possis? Equidem, inquit Aristippus:

Digitized by Google

οὐδαμῶς γε τάττω ἐμαυτὸν εἰς τὴν τῶν ἄρχειν βουλομένων τάξιν. Καὶ γὰρ πάνυ μοι δοκεῖ ἄφρονος ἀνθρώπου εἶναι τὸ, μεγάλου ἔργου ὄντος τοῦ ἑαυτῷ τὰ δέοντα παρασκευάζειν, μὴ ἀρκεῖν τοῦτο, ἀλλὰ προσαναθέσθαι τὸ καὶ τοῖς ἄλλοις πολίταις, ὧν δέονται, πορίζειν· καὶ ἑαυτῷ μὲν πολλὰ, ὧν βούλεται, ἐκλείπειν, τῆς δὲ πόλεως προεστῶτα, ἐὰν μὴ πάντα, ὅσα ἡ πόλις βούλεται, παρασκεάττῃ, τούτου δίκην ὑπέχειν, τοῦτο πῶς οὐ πολλὴ ἀφροσύνη ἐστί; Καὶ γὰρ ἀξιοῦσιν αἱ πόλεις τοῖς ἄρχουσιν, ὥσπερ ἐγὼ τοῖς οἰκέταις, χρῆσθαι. ἐγώ τε γὰρ ἀξιῶ τοὺς θεράποντας ἐμοὶ μὲν ἄφθονα τὰ ἐπιτήδεια παρασκευάζειν, αὐτοὺς δὲ μηδενὸς τούτων ἅπτεσ-

---

quippe nequaquam eorum in ordinem me refero, qui imperare volunt. Etenim hominis admodum imprudentis esse mihi videtur, non ei hoc sufficere, ut sibi ipsi necessaria comparet, (quod quidem magnum quiddam est;) sed hoc etiam sibi imponere, ut aliis etiam civibus ea suppeditet, quibus indigeant. Itidem, sibi ipsi multa deesse, quae velit: praepositum vero civitati, si non omnia perficiat, quae civitas velit, hujus poenam sustinere; nonne hoc ingens imprudentia? Nam civitates aequum censent, perinde magistratibus uti, ac ego mancipiis. Nam et ego aequum esse censeo, ut famuli mihi quidem abunde res necessarias parent, ipsi vero nihil horum attingant: et civitates esse magistratuum putant, ut

Digitized by Google

θαι· αἵ τε πόλεις οἴονται χρῆναι τοὺς ἄρχοντας ἑαυταῖς μὲν ὡς πλεῖστα ἀγαθὰ πορίζειν, αὐτοὺς δὲ πάντων τούτων ἀπέχεσθαι. ἐγὼ οὖν τοὺς μὲν βουλομένους πολλὰ πράγματα ἔχειν αὐτούς τε καὶ ἄλλοις παρέχειν, οὕτως ἂν παιδεύσας εἰς τοὺς ἀρχικοὺς καταστήσαιμι· ἐμαυτὸν τοίνυν τάττω εἰς τοὺς βουλομένους ἥ ῥᾷστά τε καὶ ἥδιστα βιοτεύειν.

Καὶ ὁ Σωκράτης ἔφη, Βούλει οὖν καὶ τοῦτο σκεψώμεθα, πότεροι ζῶσιν ἥδιον, οἱ ἄρχοντες ἢ οἱ ἀρχόμενοι; Πάνυ μὲν οὖν, ἔφη. Πρῶτον μὲν τοίνυν τῶν ἐθνῶν, ὧν ἡμεῖς ἴσμεν, ἐν μὲν τῇ Ἀσίᾳ Πέρσαι μὲν ἄρχουσιν, ἄρχονται δὲ Σύροι, καὶ Φρύγες, καὶ Λυδοί· ἐν δὲ τῇ Εὐρώπῃ Σκύθαι μὲν ἄρχουσι, Μαιῶται δὲ

maximam eis bonorum copiam comparent, ipsi vero ab iis prorsus abstineant. Quapropter equidem eos qui multa velint habere negotia, eaque tum sibi tum aliis exhibere, sic institutos inter eos pono, qui ad imperandum idonei sunt: me vero inter illos colloco, qui quam facillime suavissimeque vivere cupiunt.

Tum Socrates: Vis ergo, inquit, hoc etiam consideremus, iine suavius vivant, qui imperant, an qui imperantur? Omnino, ait. Primum igitur ex iis nationibus, quae nobis cognitae sunt, in Asia Persae imperant, Syri vero, ac Phryges, ac Lydi imperantur: in Europa penes Scythas est imperium, Maeotae parent: in

Digitized by Google

ἄρχονται· ἐν δὲ τῇ Λιβύῃ Καρχηδόνιοι μὲν ἄρχουσι, Λίβυες δὲ ἄρχονται. τούτων οὖν ποτέρους ἥδιον οἴει ζῆν; ἢ τῶν Ἑλλήνων, ἐν οἷς καὶ αὐτὸς εἶ, πότεροί σοι δοκοῦσιν ἥδιον, οἱ κρατοῦντες ἢ οἱ κρατούμενοι, ζῆν; Ἀλλ' ἐγώ τοι, ἔφη ὁ Ἀρίστιππος, οὐδὲ εἰς τὴν δουλείαν αὖ ἐμαυτὸν τάττω· ἀλλ' εἶναί τις μοὶ δοκεῖ μέση τούτων ὁδὸς, ἣν πειρῶμαι βαδίζειν, οὔτε δι' ἀρχῆς, οὔτε διὰ δουλείας, ἀλλὰ δι' ἐλευθερίας, ἥπερ μάλιστα πρὸς εὐδαιμονίαν ἄγει. Ἀλλ' εἰ μέντοι, ἔφη ὁ Σωκράτης, ὥσπερ οὔτε δι' ἀρχῆς, οὔτε διὰ δουλείας, ἡ ὁδὸς αὕτη φέρει, οὕτω μηδὲ δι' ἀνθρώπων, ἴσως ἄν τι λέγοις· εἰ μέντοι ἐν ἀνθρώποις ὢν μήτε ἄρχειν ἀξιώσῃς μήτε ἄρ-

---

Libya Carthaginienses dominantur, Libyes obtemperant: horum igitur utros vivere jucundius arbitraris? Vel inter Graecos, in quibus es tu quoque, utri jucundius tibi videntur vivere, ii, qui imperant, an qui imperantur? Ego vero, inquit Aristippus, neque in servitutem iterum me pono: sed esse mihi videtur via quaedam inter haec media, qua incedere conor, neque per imperium, neque per servitutem, sed per libertatem, quae maxime ad beatitudinem ducit. Enimvero, inquit Socrates, si haec via non etiam per homines duceret, quemadmodum neque per imperium neque servitutem tendit, fortasse quid diceres: Verum si esse inter homines

Digitized by Google

χεσθαι, μήτε τοὺς ἄρχοντας ἐκὼν θεραπεύσῃς, οἶμαί σε ὁρᾶν, ὡς ἐπίστανται οἱ κρείττονες τοὺς ἥττονας, καὶ κοινῇ καὶ ἰδίᾳ κλαίοντας καθιστάντες, δούλοις χρῆσθαι. Ἢ λανθάνουσί σε οἱ, ἄλλων σπειράντων καὶ φυτευσάντων, τόν τε σῖτον τέμνοντες καὶ δενδροκοποῦντες, καὶ πάντα τρόπον πολιορκοῦντες τοὺς ἥττονας καὶ μὴ θέλοντας θεραπεύειν, ἕως ἂν πείσωσιν ἐλέσθαι δουλεύειν ἀντὶ τοῦ πολεμεῖν τοῖς κρείττοσι; καὶ ἰδίᾳ αὖ οἱ ἀνδρεῖοι καὶ δυνατοὶ τοὺς ἀνάνδρους καὶ ἀδυνάτους οὐκ οἶσθα ὅτι καταδουλωσάμενοι καρποῦνται; Ἀλλ' ἐγώ τοι, ἔφη, ἵνα μὴ πάσχω ταῦτά, οὐδ' εἰς πολιτείαν ἐμαυτὸν κατακλείω, ἀλλὰ ξένος πανταχοῦ εἰμί.

---

vis, ac neque imperare, neque imperio subesse, neque magistratus sponte colere; videre te arbitror, quod sciant superiores inferioribus pro servis uti, dum eos et publice et privatim ejulare faciunt. An te latent qui, aliis seminantibus arboresque serentibus, et fruges resecant et arbores caedunt, omnibusque modis inferiores ac se colere nolentes oppugnant, donec persuaserint eis velle servire potius quam bellum cum fortioribus gerere? An rursus privatim nescis viros gnavos ac potentes ex ignavis ac impotentibus in servitutem redactis fructum sibi percipere? Ego vero, inquit *Aristippus*, ut id mihi non accidat, non in rempublicam meipsum concludo, sed ubique proficiscor hospes.

Digitized by Google

Καὶ ὁ Σωκράτης ἔφη, Τοῦτο μέντοι ἤδη λέγεις δεινὸν πάλαισμα· τοὺς γὰρ ξένους, ἐξ οὗ ὅ, τε Σίννις, καὶ ὁ Σκείρων, καὶ ὁ Προκρούστης ἀπέθανον, οὐδεὶς ἔτι ἀδικεῖ. ἀλλὰ νῦν οἱ μὲν πολιτευόμενοι ἐν ταῖς πατρίσι, καὶ νόμους τίθενται, ἵνα μὴ ἀδικῶνται, καὶ φίλους πρὸς τοῖς ἀναγκαίοις καλουμένοις ἄλλους κτῶνται βοηθοὺς, καὶ ταῖς πόλεσιν ἐρύματα περιβάλλονται, καὶ ὅπλα κτῶνται, οἷς ἀμύνονται τοὺς ἀδικοῦντας, καὶ πρὸς τούτοις ἄλλους ἔξωθεν συμμάχους παρασκευάζονται· καὶ οἱ μὲν πάντα ταῦτα κεκτημένοι, ὅμως ἀδικοῦνται· Σὺ δὲ οὐδὲν μὲν τούτων ἔχων, ἐν δὲ ταῖς ὁδοῖς, ἔνθα πλεῖστοι ἀδικοῦνται, πολὺν χρόνον διατρίβων, εἰς ὁποίαν δ' ἂν πό-

Et Socrates, Solers, ait, artificium narras. Nam hospites, ex quo Sinnis, et Sciron, et Procrustes obierunt, injuria nemo amplius afficit: at qui hoc tempore respublicas patrias administrant, etiam leges sibi ferunt, quo minus laedantur: ac amicos, praeter illos qui necessarii vocantur, alios comparant auxiliarios; et urbibus munitiones circumdant; et arma parant, quibus injuriosos a se propellant; ac praeter haec omnia, alios aliunde socios acquirunt: nihilominus ab his omnibus instructi, injuria afficiuntur. Tu vero quum horum nihil habeas, ac in viis, ubi plurimi injuria afficiuntur, multo tempore verseris; et quamcunque in urbem venias civibus in rebus omnibus inferior sis, adeoque talis, quales pro suo commodo ma-

λιν ἀφίκῃ, τῶν πολιτῶν πάντων ἥττων ὢν, καὶ τοιοῦτος, οἵοις μάλιστα ἐπιτίθενται οἱ βουλόμενοι ἀδικεῖν, ὅμως, διὰ τὸ ξένος εἶναι, οὐκ ἂν οἴει ἀδικηθῆναι; ἢ διότι αἱ πόλεις σοι κηρύττουσιν ἀσφάλειαν καὶ προσιόντι καὶ ἀπιόντι, θαῤῥεῖς; ἢ διότι καὶ δοῦλος ἂν οἴει τοιοῦτος εἶναι, οἷος μηδενὶ δεσπότῃ λυσιτελεῖν; τίς γὰρ ἂν ἐθέλοι ἄνθρωπον ἐν οἰκίᾳ ἔχειν, πονεῖν μὲν μηδὲν ἐθέλοντα, τῇ δὲ πολυτελεστάτῃ διαίτῃ χαίροντα; Σκεψώμεθα δὲ καὶ τοῦτο, πῶς οἱ δεσπόται τοῖς τοιούτοις οἰκέταις χρῶνται. ἆρα οὐ τὴν μὲν λαγνείαν αὐτῶν τῷ λιμῷ σωφρονίζουσι, κλέπτειν δὲ καλύουσιν, ἀποκλείοντες ὅθεν ἄν τι λαβεῖν ᾖ, τοῦ δὲ δραπετεύειν δεσμοῖς ἀπείργουσι, τὴν

time aggrediuntur ii, qui injuria afficere volunt; tamen, quia hospes es, futurum putas, non posse te injuria affici? An idcirco fidenti es animo, quod civitates tibi securitatem praeconio publico polliceantur tam adeunti quam abeunti? An quod talem te servum esse putas, qui nulli domino prosit? Nam quis hominem habere domi velit, qui laborare quidem omnino recuset, sumtuosissima autem vivendi ratione utatur? Quin illud etiam consideremus, quo pacto ejusmodi servos domini tractent. Annon eorum lasciviam fame ad animi sanitatem reducunt? nonne, occludendo ea, unde aliquid poterant sumere, furari cohibent? nonne vinculis coërcent, ne au-

Digitized by Google

ἀργίαν δὲ πληγαῖς ἐξαναγκάζουσιν; ἢ σὺ πῶς ποιεῖς, ὅταν τῶν οἰκετῶν τινα τοιοῦτον ὄντα καταμανθάνῃς; Κολάζω, ἔφη, πᾶσι κακοῖς, ἕως ἂν δουλεύειν ἀναγκάσω. ἀλλὰ γὰρ, ὦ Σώκρατες, οἱ εἰς τὴν βασιλικὴν τέχνην παιδευόμενοι, ἣν δοκεῖς μοι σὺ νομίζειν εὐδαιμονίαν εἶναι, τί διαφέρουσι τῶν ἐξ ἀνάγκης καποπαθούντων, εἴ γε πεινήσουσι, καὶ διψήσουσι, καὶ ῥιγώσουσι, καὶ ἀγρυπνήσουσι, καὶ τἆλλα πάντα μοχθήσουσιν ἑκόντες; ἐγὼ μὲν γὰρ οὐκ οἶδ', ὅ, τι διαφέρει τὸ αὐτὸ δέρμα ἑκόντα ἢ ἄκοντα μαστιγοῦσθαι, ἢ ὅλως τὸ αὐτὸ σῶμα πᾶσι τοῖς τοιούτοις ἑκόντα ἢ ἄκοντα πολιορκεῖσθαι, ἀλλ' ᾧ γε ἡ

---

fugiant? nonne desidiam verberibus expellunt? aut quo pacto tu facis, quando de servis aliquem talem esse animadvertis? Suppliciis, inquit, omnibus afficio, donec eum servire cogam. Verum, mi Socrates, qui ad regnandi artem instituuntur, quam tu mihi videris pro beatitate ducere, quid ab iis differunt, qui prae necessitate laborant incommodis, si quidem esurient, sitient, frigebunt, vigilabunt, et alias omnes aerumnas sponte perferent? nam equidem haud scio, quid discriminis sit, utrum cutis eadem, volenti an nolenti, flagris caedatur; vel omnino corpus idem his omnibus vel volenti vel nolenti prematur: at certe ei inest animi insani-

Digitized by Google

ἀφροσύνη πρόσεστι τῷ θέλοντι τὰ λυπηρὰ ὑπομένειν.

Τί δ', ὦ Ἀρίστιππε; ὁ Σωκράτης ἔφη, οὐ δοκεῖ σοι τῶν τοιούτων διαφέρειν τὰ ἑκούσια τῶν ἀκουσίων, ἢ ὁ μὲν ἑκὼν πεινῶν, φάγοι ἂν ὁπότε βούλοιτο, καὶ ὁ ἑκὼν διψῶν, πίοι, καὶ τἆλλ' ὡσαύτως· τῷ δ' ἐξ ἀνάγκης ταῦτα πάσχοντι οὐκ ἔξεστιν, ὁπότ' ἂν βούληται, παύεσθαι; ἔπειτα ὁ μὲν ἑκουσίως ταλαιπωρῶν, ἐπ' ἀγαθῇ ἐλπίδι φρονῶν εὐφραίνεται, οἷον οἱ τὰ θηρία θηρῶντες, ἐλπίδι τοῦ λήψεσθαι ἡδέως μοχθοῦσι. Καὶ τὰ μὲν τοιαῦτα ἆθλα τῶν πόνων μικροῦ τινος ἄξιά ἐστι· τοὺς δὲ πονοῦντας, ἵνα φίλους ἀγαθοὺς κτήσωνται, ἢ ὅπως ἐχθροὺς χειρώσωνται, ἢ ἵνα δυνατοὶ

---

tas, qui aerumnosa patitur volens.

Quid, Aristippe? inquit Socrates: in rebus talibus, nonne tibi differre videntur voluntaria ab involuntariis, quatenus qui sponte esurit, comedere potest, quum vult; et qui sponte sitit, bibere potest; et in aliis rebus simliter: qui vero ex necessitate haec perfert, non potest, ubi vult, ab iis cessare? Deinde qui sponte perfert aerumnas, bona spe laborans laetatur; sicut, qui feras venantur, spe capiendi suaviter laborant. Atque hujusmodi sane laborum praemia non magni pretii sunt; qui vero in hoc incumbunt, ut amicos bonos parent, vel inimicos domitent, vel ut (quum in

Digitized by Google

γενόμενοι καὶ τοῖς σώμασι καὶ ταῖς ψυχαῖς, καὶ τὸν ἑαυτῶν οἶκον καλῶς οἰκῶσι, καὶ τοὺς φίλους εὖ ποιῶσι, καὶ τὴν πατρίδα εὐεργετῶσι, πῶς οὐκ οἶσθα, ὡς χρὴ τούτους καὶ πονεῖν ἡδέως εἰς τὰ τοιαῦτα, καὶ ζῆν εὐφραινομένους, ἀγαμένους μὲν ἑαυτοὺς, ἐπαινουμένους δὲ καὶ ζηλουμένους ὑπὸ τῶν ἄλλων; Ἔτι δὲ αἱ μὲν ῥᾳδιουργίαι, καὶ ἐκ τοῦ παραχρῆμα ἡδοναὶ, οὔτε σώματι εὐεξίαν ἱκαναί εἰσιν ἐνεργάζεσθαι, ὡς φασὶν οἱ γυμνασταὶ, οὔτε ψυχῇ ἐπιστήμην ἀξιόλογον οὐδεμίαν ἐμποιοῦσιν· αἱ δὲ διὰ καρτερίας ἐπιμέλειαι τῶν καλῶν τε κἀγαθῶν ἔργων ἐξικνεῖσθαι ποιοῦσιν, ὡς φασὶν οἱ ἀγαθοὶ ἄνδρες. λέγει δέ που καὶ Ἡσίοδος·

---

corporis animaeque viribus adaugendis plurimum profecerint) familiam suam pulchre administrent, amicis prosint, patriam beneficiis afficiant: quomodo nescis, debere hos et suaviter laborare in hujusmodi rebus, et cum laetitia vivere, dum et seipsos probant, eosque alii laudant et aemulantur? Praeterea mollities, ac in promptu positae voluptates, neque corpori bonam parere constitutionem possunt, uti gymnasiorum magistri asserunt, neque alicujus pretii scientiam ullam indunt animae: at per tolerantiam exercita studia faciunt, ut ad pulchra et bona facinora perveniamus, quemadmodum boni viri praedicant. Ait alicubi et Hesiodus:

Digitized by Google

Τὴν μὲν γὰρ κακότητα καὶ ἱλαδὸν ἔστιν ἑλέσθαι
Ῥηϊδίως· λείη μὲν ὁδὸς, μάλα δ' ἐγγύθι ναίει.
Τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
Ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐπ' αὐτὴν,
Καὶ τραχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
Ῥηϊδίη δὴ ἔπειτα πέλει, χαλεπὴ περ ἐοῦσα.

Μαρτυρεῖ δὲ καὶ Ἐπίχαρμος ἐν τῷδε·

——— Τῶν πόνων
Πωλοῦσιν ἡμῖν πάντα τἀγαθ' οἱ θεοί.

Καὶ ἐν ἄλλῳ δὲ τόπῳ φησίν·

——— Ὦ πονηρὲ σὺ,
Μή μοι τὰ μαλακὰ μάνθε, μὴ τὰ σκληρ' ἔχῃς.

Καὶ Πρόδικος δὲ ὁ σοφὸς ἐν τῷ συγγράμματι τῷ περὶ τοῦ Ἡρακλέους (ὅπερ δὴ καὶ πλείστοις ἐπιδείκνυται) ὡσαύτως περὶ τῆς ἀρετῆς ἀποφαίνεται, ὧδέ πως λέγων, ὅσα ἐγὼ

Malitiam quidem cumulatim etiam capere
Facile est: brevis quippe via est, et in proximo habitat.
Ante virtutem vero sudorem Dii posuerunt
Immortales: longa vero atque ardua via est ad illam,
Primumque aspera: ubi vero ad summum quis venerit,
Facilis deinceps est, quantumvis difficilis fuerit,

Hoc testatur et Epicharmus his verbis:

———*laboribus*
Vendunt nobis omnia bona Dii.

Idem alio quoque loco inquit:

———*O tu male,*
Non ambi mollia, ne dura accidant tibi.

Quin et Prodicus ille sapiens in libro de Hercule, (quem plurimis solet ostendere) simi-

Digitized by Google

μέμνημαι. φησὶ γὰρ Ἡρακλέα, ἐπεὶ ἐκ παίδων εἰς ἥβην ὥρμᾶτο, (ἐν ᾗ οἱ νέοι ἤδη αὐτοκράτορες γιγνόμενοι δηλοῦσιν, εἴτε τὴν δι' ἀρετῆς ὁδὸν τρέψονται ἐπὶ τὸν βίον, εἴτε τὴν διὰ κακίας) ἐξελθόντα εἰς ἡσυχίαν καθῆσθαι, ἀποροῦντα, ὁποτέραν τῶν ὁδῶν τράπηται· Καὶ φανῆναι αὐτῷ δύο γυναίκας προϊέναι μεγάλας, τὴν μὲν ἑτέραν εὐπρεπῆ τε ἰδεῖν καὶ ἐλευθέριον φύσει, κεκοσμημένην τὸ μὲν σῶμα καθαρότητι, τὰ δὲ ὄμματα αἰδοῖ, τὸ δὲ σχῆμα σωφροσύνῃ, ἐσθῆτι δὲ λευκῇ. τὴν δὲ ἑτέραν τεθραμμένην μὲν εἰς πολυσαρκίαν τε καὶ ἁπαλότητα, κεκαλλωπισμένην δὲ τὸ μὲν χρῶμα, ὥστε λευκοτέραν τε καὶ ἐρυθροτέραν τοῦ ὄντος δοκεῖν φαίνεσθαι, τὸ δὲ

liter de virtute pronunciat, in hunc fere modum, quantum memini, dicens. Herculem ait, postquam ex pueritia ad pubertatem irrueret, (in qua jam adolescentes sui juris fiunt, ac indicia praebent, virtutisne via perrecturi sint ad vitam, an vero vitiositatis) egressum in solitudinem ibi consedisse, ambigentem, ad utram se viam converteret. Tum ei apparuisse duas grandi statura mulieres procedere; alteram quidem vennsto ac liberali vultu a natura, cujus corpus mundities esset ornatum, oculi verecundia, effigies animi sanitate, veste candida: alteram vero nutrimento redditam obesam et teneram, sic ornatam quoad colorem ut candidior ac rubicundior videretur, quam revera esset; effigie erectior visa,

σχῆμα, ὥστε δοκεῖν ὀρθοτέραν τῆς φύσεως εἶναι, τὰ δὲ ὄμματα ἔχειν ἀναπεπταμένα, ἐσθῆτα δὲ, ἐξ ἧς ἂν μάλιστα ὥρα διαλάμποι· κατασκοπεῖσθαι δὲ θαμὰ ἑαυτὴν, ἐπισκοπεῖν δὲ καὶ εἴ τις ἄλλος αὐτὴν θεᾶται· πολλάκις δὲ καὶ εἰς τὴν ἑαυτῆς σκιὰν ἀποβλέπειν. Ὡς δ' ἐγένοντο πλησιαίτερον τοῦ Ἡρακλέους, τὴν μὲν πρόσθεν ῥηθεῖσαν ἰέναι τὸν αὐτὸν τρόπον, τὴν δὲ ἑτέραν, φθάσαι βουλομένην, προσδραμεῖν τῷ Ἡρακλεῖ, καὶ εἰπεῖν· Ὁρῶ σε, ὦ Ἡράκλεις, ἀποροῦντα, ποίαν ὁδὸν ἐπὶ τὸν βίον τράπῃ. ἐὰν οὖν ἐμὲ φίλην ποιήσῃ, ἐπὶ τὴν ἡδίστην τε καὶ ῥᾴστην ὁδὸν ἄξω σε, καὶ τῶν μὲν τερπνῶν οὐδενὸς ἄγευστος ἔσῃ, τῶν δὲ χαλεπῶν ἄπειρος

quam esset a natura; oculis sursum expassis; veste tali, ex qua venustas maxime pelluceret: eandem saepius se contemplatam esse, ac num aliquis ipsam spectaret, considerasse; saepe ad umbram quoque suam respexisse. Quum ad Herculem venissent propius, incessisse illam, de qua prius diximus, una eodemque passu: alteram vero, praevenire volentem, accurrisse ad Herculem, atque dixisse: Video te, mi Hercules, ambigere, quanam via te ad vitam conferas. Quapropter, si me tibi amicam adjunxeris, ducam te ad iter jucundissimum ac facillimum; ut eorum, quae suavia sunt, nihil non gustes, simulque molestiae expers vivas. Nam primum tibi neque

Digitized by Google

διαβιώσῃ. Πρῶτον μὲν γὰρ οὐ πολέμων, οὐδὲ πραγμάτων φροντιεῖς, ἀλλὰ σκοπούμενος διέσῃ, τί ἂν πεχαρισμένον ἢ σιτίον ἢ ποτὸν εὕροις, ἢ τί ἂν ἰδὼν ἢ τί ἀκούσας τερφθείης, ἢ τίνων ὀσφραινόμενος ἢ ἁπτόμενος ἡσθείης, τίσι δὲ παιδικοῖς ὁμιλῶν μάλιστ' ἂν εὐφρανθείης, καὶ πῶς ἂν μαλακώτατα καθεύδοις, καὶ πῶς ἂν ἀπονώτατα τούτων πάντων τυγχάνοις. Ἐὰν δέ ποτε γένηταί τις ὑποψία στάσεως, ἀφ' ὧν ἔσται ταῦτα, οὐ φόβος, μή σε ἀγάγω ἐπὶ τὸ, πονοῦντα καὶ ταλαιπωροῦντα τῷ σώματι καὶ τῇ ψυχῇ, ταῦτα πορίζεσθαι· ἀλλ' οἷς ἂν οἱ ἄλλοι ἐργάζωνται, τούτοις σὺ χρῆσῃ, οὐδενὸς ἀπεχόμενος, ὅθεν ἂν δυνατὸν ᾖ τι κερδᾶναι. πανταχόθεν γὰρ

---

bella, neque negotia curanda erunt; sed dispicies, quemnam tibi gratum vel cibum vel potum invenire possis: quid vel aspectu, vel auditu, vel odoratu, vel tactu te delectare possit: quibus amoribus fruens, plurimum gaudeas; quo pacto quam mollissime dormias; qui absque labore minimo possis haec omnia consequi. Quod si aliquando illa defectura, de quibus haec percipies, suspicio sit, nihil est quod metuas, ne eo te deducam, ut haec, laborando, variisque tum animae tum corporis aerumnis perferendis, tibi compares: sed aliorum laboribus tu frueris, nec ab ulla re abstinebis, de qua capi aliquid lucri possit. Nam equidem familiaribus meis

Digitized by Google

ὠφελεῖσθαι τοῖς ἐμοὶ ξυνοῦσιν ἐξουσίαν ἔγωγε παρέχω. Καὶ ὁ Ἡρακλῆς ἀκούσας ταῦτα, Ὦ γύναι, ἔφη, ὄνομα δέ σοι τί ἐστιν; Ἡ δὲ, Οἱ μὲν ἐμοὶ φίλοι, ἔφη, καλοῦσί με Εὐδαιμονίαν, οἱ δὲ μισοῦντές με, ὑποκοριζόμενοι ὀνομάζουσί με Κακίαν.

Καὶ ἐν τούτῳ ἡ ἑτέρα γυνὴ προσελθοῦσα εἶπεν· Καὶ ἐγὼ ἥκω πρὸς σὲ, ὦ Ἡράκλεις, εἰδυῖα τοὺς γεννήσαντάς σε, καὶ τὴν φύσιν τὴν σὴν ἐν τῇ παιδείᾳ καταμαθοῦσα· ἐξ ὧν ἐλπίζω, εἰ τὴν πρὸς ἐμὲ ὁδὸν τράποιο, σφόδρ' ἄν σε τῶν καλῶν καὶ σεμνῶν ἐργάτην ἀγαθὸν γενέσθαι, καὶ ἐμὲ ἔτι πολὺ ἐντιμοτέραν καὶ ἐπ' ἀγαθοῖς διαπρεπεστέραν φανῆναι. οὐκ ἐξαπατήσω δέ σε προοιμίοις ἡδονῆς, ἀλλ'

---

potestatem facio, ut ex omnibus partibus utilitatem capiant. Haec quum audiisset Hercules; Quodnam est, inquit, tibi nomen, mulier? Illa vero, amici mei, ait, Felicitatem me appellant: at qui oderunt, non subblandientes vocant me Vitiositatem.

Quum interim altera mulier accessisset: Ego quoque, inquit, ad te venio, mi Hercules, quae et parentes tuos novi, et quae tua esset natura, in pueritia animadverti. De quibus spero, ut si ea, quae ad me ducit, via incesseris, strenue tu pulchras et honestas res geras; atque ego posthac longe honoratior et propter bona *opera* illustrior videar. Neque vero te decipiam voluptatis propo-

Digitized by Google

ἥπερ οἱ θεοὶ διέθεσαν, τὰ ὄντα διηγήσομαι μετ' ἀληθείας. Τῶν γὰρ ὄντων ἀγαθῶν καὶ καλῶν οὐδὲν ἄνευ πόνου καὶ ἐπιμελείας θεοὶ διδόασιν ἀνθρώποις· ἀλλ' εἴτε τοὺς θεοὺς ἵλεως εἶναί σοι βούλει, θεραπευτέον τοὺς θεούς· εἴτε ὑπὸ φίλων ἐθέλεις ἀγαπᾶσθαι, τοὺς φίλους εὐεργετητέον· εἴτε ὑπό τινος πόλεως ἐπιθυμεῖς τιμᾶσθαι, τὴν πόλιν ὠφελητέον· εἴτε ὑπὸ τῆς Ἑλλάδος πάσης ἀξιοῖς ἐπ' ἀρετῇ θαυμάζεσθαι, τὴν Ἑλλάδα πειρατέον εὖ ποιεῖν· εἴτε τὴν γῆν φέρειν σοι βούλει καρποὺς ἀφθόνους, τὴν γῆν θεραπευτέον· εἴτε ἀπὸ βοσκημάτων οἴει δεῖν πλουτίζεσθαι, τῶν βοσκημάτων ἐπιμελητέον· εἴτε διὰ πολέμου ὁρμᾷς αὔξεσθαι, καὶ βούλει δύνασθαι τοὺς

---

miis, sed quo modo Dii res constituerunt, vere commemorabo. Nihil enim eorum, quae bona et pulchra sunt, sine labore et exercitatione Dii hominibus largiuntur: sed sive Deos esse propitios tibi vis, colendi sunt Dii: seu ab amicis vis diligi, beneficiis amici sunt afficiendi: sive a civitate aliqua vis honorari, utilitatis quid civitati afferendum est: seu apud universam Graeciam virtutis nomine vis esse in admiratione, Graeciae ut benefacias conandum erit: sive terram tibi fructus uberes ferre vis, colenda erit terra: seu a jumentis ditari putas, jumentorum cura erit habenda: sive bello res tuas amplificare desideras, ac potestatem consequi vis tum amicos liberandi, tum subigendi hostes, non

Digitized by Google

τε φίλους ἐλευθεροῦν, καὶ τοὺς ἐχθροὺς χειροῦσθαι, τὰς πολεμικὰς τέχνας αὐτάς τε παρὰ τῶν ἐπισταμένων μαθητέον, καὶ, ὅπως αὐταῖς δεῖ χρῆσθαι, ἀσκητέον· εἰ δὲ καὶ τῷ σώματι βούλει δυνατὸς εἶναι, τῇ γνώμῃ ὑπηρετεῖν ἐθιστέον τὸ σῶμα, καὶ γυμναστέον σὺν πόνοις καὶ ἱδρῶτι.

Καὶ ἡ Κακία ὑπολαβοῦσα εἶπεν, (ὥς φησι Πρόδικος) Ἐννοεῖς, ὦ Ἡράκλεις, ὡς χαλεπὴν καὶ μακρὰν ὁδὸν ἐπὶ τὰς εὐφροσύνας ἡ γυνή σοι αὕτη διηγεῖται; ἐγὼ δὲ ῥᾳδίαν καὶ βραχεῖαν ὁδὸν ἐπὶ τὴν εὐδαιμονίαν ἄξω σε. Καὶ ἡ Ἀρετὴ εἶπεν, Ὦ τλῆμον, τί δὲ σὺ ἀγαθὸν ἔχεις, ἢ τί ἡδὺ οἶσθα, μηδὲν τούτων ἕνεκα πράττειν ἐθέλουσα; ἥτις οὐδὲ τὴν

---

solum artes bellicae tibi ab earum peritis discendae sunt, sed etiam percipiendum exercitatione, quo pacto sit iis utendum: denique, si etiam corpore vis esse robustus, necesse est corpus assuefacias ad parendum rationi, perque labores ac sudorem te exerceas.

Tum ejus sermonem excipiens Vitiositas, (quemadmodum Prodicus ait) Videsne, inquit, mi Hercules, quam longam ac difficilem viam ad delectationes haec tibi mulier exponat? ego vero facili brevique ad beatitatem itinere te ducam. Tum Virtus; Misera vero tu, ait, quid boni habes? aut quam delectationem nosti, quum nihil horum causa facere velis? quae jucundorum appe-

Digitized by Google

τῶν ἡδέων ἐπιθυμίαν ἀναμένεις, ἀλλὰ πρὶν ἐπιθυμῆσαι, πάντων ἐμπίπλασαι· πρὶν μὲν πεινῆν, ἐσθίουσα, πρὶν δὲ διψῆν, πίνουσα· καὶ ἵνα μὲν ἡδέως φάγῃς, ὀψοποιοὺς μηχανωμένη· ἵνα δὲ ἡδέως πίνῃς, οἴνους τε πολυτελεῖς παρασκευάζῃ, καὶ τοῦ θέρους χιόνα περιθέουσα ζητεῖς· ἵνα δὲ καθυπνώσῃς ἡδέως, οὐ μόνον τὰς στρωμνὰς μαλακὰς, ἀλλὰ καὶ τὰς κλίνας, καὶ τὰ ὑπόβαθρα ταῖς κλίναις παρασκευάζεις. οὐ γὰρ διὰ τὸ πονεῖν, ἀλλὰ διὰ τὸ μηδὲν ἔχειν, ὅ, τι ποιῇς, ὕπνου ἐπιθυμεῖς. τὰ δ' ἀφροδίσια πρὸ τοῦ δεῖσθαι ἀναγκάζεις, πάντα μηχανωμένη, καὶ γυναιξὶ τοῖς ἀνδράσι χρωμένη· οὕτω γὰρ παιδεύεις τοὺς σαυτῆς φίλους, τῆς μὲν νυκτὸς ὑβρίζουσα, τῆς δὲ

titum non expectas, sed priusquam appetas, omnibus repleris: priusquam esurias, comedis; priusquam sitias, bibis: atque ut suaviter comedas, obsoniorum structores excogitas: ut suaviter bibas, vina pretiosa circuens hinc et illinc quaeritas, et, qua utaris in aestate, nivem tibi comparas: ut suaviter dormias, non stragula tantum mollia, sed etiam lectulos, lectulorumque fulcra paras; non enim propter labores somnum appetis; sed quia nihil est tibi quod agas. Venerem vero prius, quam ea indigeas, omni arte impellis; et ipsis viris tanquam mulieribus uteris. Sic enim amicos tuos instituis, noctu *eos* contumeliosa injuria afficiens, et utilissima diei parte, somno obruens. Quumque sis immortalis, a

Digitized by Google

ἡμέρας τὸ χρησιμώτατον καταποιμίζουσα. Ἀθάνατος δὲ οὖσα, ἐκ θεῶν μὲν ἀπέρριψαι, ὑπὸ δὲ ἀνθρώπων ἀγαθῶν ἀτιμάζῃ. τοῦ δὲ πάντων ἡδίστου ἀκούσματος, ἐπαίνου σεαυτῆς, ἀνήκοος εἶ, καὶ τοῦ πάντων ἡδίστου θεάματος ἀθέατος· οὐδὲν γὰρ πώποτε σαυτῆς ἔργον καλὸν τεθέασαι. τίς δ' ἂν σοι λεγούσῃ τι πιστεύσειε; τίς δ' ἂν δεομένῃ τινὸς ἐπαρκέσειεν; ἢ τίς ἂν εὖ φρονῶν τοῦ σοῦ θιάσου τολμήσειεν εἶναι· οἱ, νέοι μὲν ὄντες, τοῖς σώμασιν ἀδύνατοι εἰσὶ, πρεσβύτεροι δὲ γενόμενοι, ταῖς ψυχαῖς ἀνόητοι· ἀπόνως μὲν λιπαροὶ διὰ νεότητος τρεφόμενοι, ἐπιπόνως δὲ αὐχμηροὶ διὰ γήρως περῶντες· τοῖς μὲν πεπραγμένοις αἰσχυνόμενοι, τοῖς δὲ πραττομένοις βαρυνόμενοι·

Diis quidem rejecta es; et a bonis hominibus probro afficeris. Jam quod omnium auditu jucundissimum est, tuam ipsius laudem nullam audis; nec, quod spectaculum jucundissimum est, spectare potes: quippe nullum unquam pulchrum facinus tuum vidisti. Quis vero tibi aliquid dicenti fidem habeat? Quis rei alicujus egenti quidquam suppeditet? Quis animi sani compos ex tuae sodalitatis coetu esse audeat? quum tui, si adolescentes sint, corporibus sint debiles; provectiores facti, animis desipiant: sine labore nitidi per adolescentiam victitant; cum labore squallidi per senectam aetatem transeunt: eorum, quae egerunt, pudet, et eorum quae agunt, onus haud sustinent; jucundis in

Digitized by Google

τὰ μὲν ἡδέα ἐν τῇ νεότητι διαδραμόντες, τὰ δὲ χαλεπὰ εἰς τὸ γῆρας ἀποθέμενοι. Ἐγὼ δὲ σύνειμι μὲν θεοῖς, σύνειμι δὲ ἀνθρώποις τοῖς ἀγαθοῖς. ἔργον δὲ καλὸν οὔτε θεῖον οὔτε ἀνθρώπινον χωρὶς ἐμοῦ γίγνεται, τιμῶμαι δὲ μάλιστα πάντων καὶ παρὰ θεοῖς, καὶ παρ' ἀνθρώποις, οἷς προσήκει· ἀγαπητὴ μὲν συνεργὸς τεχνίταις, πιστὴ δὲ φύλαξ οἴκων δεσπόταις, εὐμενὴς δὲ παραστάτις οἰκέταις, ἀγαθὴ δὲ συλλήπτριὰ τῶν ἐν εἰρήνῃ πόνων, βεβαία δὲ τῶν ἐν πολέμῳ σύμμαχος ἔργων, ἀρίστη δὲ φιλίας κοινωνός. Ἔστι δὲ τοῖς μὲν ἐμοῖς φίλοις ἡδεῖα μὲν καὶ ἀπράγμων σίτων καὶ ποτῶν ἀπόλαυσις· ἀνέχονται γὰρ ἕως ἂν ἐπιθυμήσωσιν αὐτῶν. ὕπνος δ' αὐτοῖς πάρεστιν

---

adolescentia cursu quasi peragratis, in senectutem molesta reservant. Ego vero cum Diis versor, cum hominibus versor bonis: nec ullum praeclarum facinus, sive divinum sive humanum, absque me perpetratur. In summo honore apud Deos versor, et apud homines, sicuti par est; *quum sim* artificibus cara laborum socia, fida rerum familiarium custos heris, opitulatrix benigna servis, in laboribus pace curandis adjutrix egregia, strenua in negotiis bellicis auxiliatrix, amicitiae consors optima. Est etiam amicis meis cibi et potus perceptio suavis pariter, ac elaborati nihil habens. Expectant enim, donec appetunt. Iidem somnum capiunt suavio-

Digitized by Google

ἡδίων ἢ τοῖς ἀμόχθοις, καὶ οὔτε ἀπολιπόντες αὐτὸν ἄχθονται, οὔτε διὰ τοῦτον μεθιᾶσι τὰ δέοντα πράττειν. καὶ οἱ μὲν νέοι τοῖς τῶν πρεσβυτέρων ἐπαίνοις χαίρουσιν, οἱ δὲ γεραίτεροι ταῖς τῶν νέων τιμαῖς ἀγάλλονται. καὶ ἡδέως μὲν τῶν παλαιῶν πράξεων μέμνηνται, εὖ δὲ τὰς παρούσας ἥδονται πράττοντες, δι' ἐμὲ φίλοι μὲν θεοῖς ὄντες, ἀγαπητοὶ δὲ φίλοις, τίμιοι δὲ πατρίσιν. ὅταν δ' ἔλθῃ τὸ πεπρωμένον τέλος, οὐ μετὰ λήθης ἄτιμοι κεῖνται, ἀλλὰ μετὰ μνήμης τὸν ἀεὶ χρόνον ὑμνούμενοι θάλλουσι. Τοιαῦτά σοι, ὦ παῖ τοκέων ἀγαθῶν Ἡράκλεις, ἔξεστι διαπονησαμένῳ τὴν μακαριστοτάτην εὐδαιμονίαν κεκτῆσθαι.

---

rem, quam otiosi: ac neque eum excutientes se moleste ferunt, neque hujus causa, quae sunt agenda, negligunt. Adolescentes seniorum laudibus gaudent, seniores adolescentium honoribus delectantur. Iidem rerum olim gestarum memoriam jucunde repetunt, et cum voluptate praesentia peragunt feliciter; quum per me quidem Diis accepti sint, amicis cari, patriis honorati. Et quum venerit finis a fato praestitutus, non inhonorati jacent, oblivioni traditi; sed perpetua sui memoria celebrati florent. Hujusmodi, mi Hercules, parentum soboles fortium, laboribus exantlatis, licet tibi vitam agere ab omni parte beatissimam.

Digitized by Google

Οὕτω πως διώκει Πρόδικος τὴν ὑπ' Ἀρετῆς Ἡρακλέους παίδευσιν. ἐκόσμησε μέντοι τὰς γνώμας ἔτι μεγαλειοτέροις ῥήμασιν, ἢ ἐγὼ νῦν. σοὶ δ' οὖν ἄξιον, ὦ Ἀρίστιππε, τούτων ἐνθυμουμένῳ πειρᾶσθαί τι καὶ τῶν εἰς τὸν μέλλοντα χρόνον τοῦ βίου φροντίζειν.

β'. Αἰσθόμενος δέ ποτε Λαμπροκλέα, τὸν πρεσβύτατον υἱὸν ἑαυτοῦ, πρὸς τὴν μητέρα χαλεπαίνοντα, Εἰπέ μοι, ἔφη, ὦ παῖ, οἴσθά τινας ἀνθρώπους ἀχαρίστους καλουμένους; Καὶ μάλα, ἔφη ὁ νεανίσκος. Καταμεμάθηκας οὖν τοὺς τί ποιοῦντας τὸ ὄνομα τοῦτο ἀποκαλοῦσιν; Ἔγωγ', ἔφη· τοὺς γὰρ εὖ παθόντας, ὅταν δυνάμενοι χάριν ἀποδοῦναι, μὴ ἀποδῶσιν, ἀχαρίστους καλοῦσιν. Οὐκοῦν

Hoc quodam modo Prodicus Herculis sub virtute institutionem prosequitur. Sententias quidem ipsas verbis multo magis magnificis, quam ego nunc, ornavit. Quamobrem, mi Aristippe, te decet haec animo perpendentem moliri aliquid *magni momenti*, ac ea curare, quae in futuris temporibus vitam honestent.

2. Caeterum quum animadvertisset aliquando Lamproclem, filium suum natu maximum, matri suae succensere: Dic mihi, ait, mi fili, nostine quosdam homines qui appellantur ingrati? Omnino, inquit adolescentulus. Animadvertisti ergo, quid illi faciant, qui hoc nomine dicuntur? Equidem, ait: nam illos ingra-

Digitized by Google

δοκοῦσί σοι ἐν τοῖς ἀδίκοις καταλογίζεσθαι τοὺς ἀχαρίστους; Ἔμοιγ', ἔφη. Ἤδη δέ ποτε ἐσκέψω, εἰ ἄρα, ὥσπερ τὸ ἀνδραποδίζεσθαι τοὺς μὲν φίλους, ἄδικον εἶναι δοκεῖ, τοὺς δὲ πολεμίους, δίκαιον, οὕτω καὶ τὸ ἀχαριστεῖν πρὸς μὲν τοὺς φίλους, ἄδικόν ἐστι, πρὸς δὲ τοὺς πολεμίους, δίκαιον; Καὶ μάλα, ἔφη· καὶ δοκεῖ μοι, ὑφ' οὗ ἄν τις εὖ παθὼν, εἴτε φίλου, εἴτε πολεμίου, μὴ πειρᾶται χάριν ἀποδιδόναι, ἄδικος εἶναι. Οὐκοῦν, εἴ γε οὕτως ἔχει τοῦτο, εἰλικρινής τις ἂν εἴη ἀδικία ἡ ἀχαριστία; Συνωμολόγει. Οὐκοῦν, ὅσῳ ἄν τις μείζω ἀγαθὰ παθὼν, μὴ ἀποδιδῷ χάριν, τοσούτῳ ἀδικώτερος ἂν εἴη; Συνέφη καὶ τοῦτο. Τίνας οὖν, ἔφη, ὑπὸ τίνων εὑροιμεν

---

tos vocant, qui affecti beneficiis, quum referre gratiam possint, non referunt. Ergo tibi videntur ingratos cum injustis reponere? Mihi quidem, inquit. Verum considerastine, *inquit*, an quemadmodum amicos in servitutem redigere, injustum esse videtur, inimicos autem, justum; sic etiam erga amicos ingratum esse, injustum sit, erga inimicos autem, justum? Omnino, inquit; adeoque mihi a quocunque quispiam beneficiis affectus, sive amico, sive inimico, non conatur gratias reddere, injustus esse. Ergo, si res ita se habet, mera quaedam injustitia est ingratitudo. Concessit. Quanto quis igitur majoribus beneficiis affectus gratiam non retulerit,

Digitized by Google

ἂν μείζονα εὐεργετημένους ἢ παῖδας ὑπὸ γονέων; οὓς οἱ γονεῖς ἐκ μὲν οὐκ ὄντων ἐποίησαν εἶναι, τοσαῦτα δὲ καλὰ ἰδεῖν, καὶ τοσούτων ἀγαθῶν μετασχεῖν, ὅσα οἱ θεοὶ παρέχουσι τοῖς ἀνθρώποις· ἃ δὴ καὶ οὕτως ἡμῖν δοκεῖ παντὸς ἄξια εἶναι, ὥστε πάντες τὸ παταλιπεῖν αὐτὰ πάντων μάλιστα φεύγομεν. καὶ αἱ πόλεις ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι ζημίαν θάνατον πεποιήκασιν, ὡς οὐκ ἂν μείζονος κακοῦ φόβῳ τὴν ἀδικίαν παύσοντες. Καὶ μὴν οὐ τῶν γε ἀφροδισίων ἕνεκα παιδοποιεῖσθαι τοὺς ἀνθρώπους ὑπολαμβάνεις· ἐπεὶ τούτου γε τῶν ἀπολυσόντων μεσταὶ μὲν αἱ ὁδοί, μεστὰ δὲ τὰ οἰκήματα. φανεροὶ δ' ἐσμὲν καὶ σκοπούμενοι ἐξ ὁποίων ἂν γυναικῶν βέλτιστα

---

tanto erit injustior. Concessit etiam hoc. Quos autem, ait, a quibus reperire possimus majoribus affectos beneficiis, quam liberos a parentibus? quibus, quum antea non essent, parentes existendi causa fuerunt, atque tot pulchras ut res cernerent, tot bonorum participes fierent, quot bona hominibus Dii suppeditant: quae sane usque adeo maxima facienda ducimus, ut omnes imprimis eorum amissionem refugiamus. Civitates quoque maximis sceleribus mortem in poenam statuerunt, quod gravioris mali metu injustitiam coërcere nequeant. Nec vero homines rei venereae causa liberos procreare existimes. Nam eorum, quae ab illa quem-

Digitized by Google

ἡμῖν τέκνα γένοιτο, αἷς συνελθόντες τεκνοποιούμεθα. Καὶ ὁ μὲν ἀνὴρ τήν τε συντεκνοποιήσουσαν ἑαυτῷ τρέφει, καὶ τοῖς μέλλουσιν ἔσεσθαι παισὶ προπαρασκευάζει πάντα, ὅσα ἂν οἴηται συνοίσειν αὐτοῖς πρὸς τὸν βίον, καὶ ταῦτα ὡς ἂν δύνηται πλεῖστα. ἡ δὲ γυνὴ ὑποδεξαμένη τε φέρει τὸ φορτίον τοῦτο, βαρυνομένη τε καὶ κινδυνεύουσα περὶ τοῦ βίου, καὶ μεταδιδοῦσα τῆς τροφῆς, ᾗ καὶ αὐτὴ τρέφεται, καὶ σὺν πολλῷ πόνῳ διενέγκασα καὶ τεκοῦσα, τρέφει τε καὶ ἐπιμελεῖται, οὔτε προπεπονθυῖα οὐδὲν ἀγαθὸν, οὔτε γιγνώσκον τὸ βρέφος, ὑφ' ὅτου εὖ πάσχει, οὐδὲ σημαίνειν δυνάμενον, ὅτου δεῖται· ἀλλ' αὐτὴ στοχαζομένη τά τε συμφέροντα καὶ κεχαρισμέ-

---

vis liberent, plenae viae, plena lupanaria. Praeterea manifestum est, considerare nos, ex cujusmodi mulieribus liberos optimos suscipere possimus, quibuscum congressi liberos procreamus. Ac vir quidem eam, quae in procreatione cooperatur, nutrit, liberisque nascendis praeparat omnia, quaecunque ad vitam eis conductura putat, eaque quam potest plurima: mulier vero exceptum onus hoc gestat, cum gravamine vitaeque periculo; alimentumque suppeditans, quo alitur et ipsa, posteaquam magno cum labore gestavit ac peperit, tum nutrit, nullo prius affecta beneficio; tum curat infantem, non agnoscentem a quo beneficium accipiat, neque

Digitized by Google

να πειρᾶται ἐκπληροῦν, καὶ τρέφει πολὺν χρόνον, καὶ ἡμέρας καὶ νύκτας ὑπομένουσα πονεῖν, οὐκ εἰδυῖα τίνα τούτων χάριν ἀπολήψεται. Καὶ οὐκ ἀρκεῖ θρέψαι μόνον, ἀλλὰ καὶ ἐπειδὰν δόξωσιν ἱκανοὶ εἶναι οἱ παῖδες μανθάνειν τι, ἃ μὲν ἂν αὐτοὶ ἔχωσιν οἱ γονεῖς ἀγαθὰ πρὸς τὸν βίον, διδάσκουσιν· ἃ δ' ἂν οἴωνται ἄλλον ἱκανώτερον εἶναι διδάξαι, πέμπουσι πρὸς τοῦτον δαπανῶντες, καὶ ἐπιμελοῦνται, πάντα ποιοῦντες, ὅπως οἱ παῖδες αὐτοῖς γένωνται ὡς δυνατὸν βέλτιστοι.

Πρὸς ταῦτα ὁ νεανίσκος ἔφη, Ἀλλά τοι εἰ ταῦτα πάντα πεποίηκε, καὶ ἄλλα τούτων πολλαπλάσια, οὐδεὶς ἂν δύναιτο αὐτῆς ἀνασχέσθαι τὴν χαλεπότητα. Καὶ ὁ Σωκράτης,

---

valentem indicare, quibus egeat; sed ipsa quid ei conducat, ac gratum esse possit, conjectura colligens, explere nititur, et longo nutrit tempore, ac noctes diesque labores perfert, quam pro his gratiam reportatura sit ignorans. Neque tantum nutrire sufficit, sed etiam, ubi ad discendum aliquid idonei videntur esse liberi, siqua parentes ipsi tenent ad vitam utilia, docent: quibus vero docendis alium magis idoneum esse putant, ad hunc eos magno cum sumptu mittunt, omnique conatu dant operam, ut liberi reddantur, quantum fieri potest, optimi.

Ad haec subjecit adolescentulus: Tametsi haec omnia fecerit, aliaque his multo plura,

Digitized by Google

Πότερα δὲ οἴει, ἔφη, θηρίου ἀγριότητα δυσφορωτέραν εἶναι, ἢ μητρός; Ἐγὼ μὲν οἶμαι, ἔφη, τῆς μητρὸς τῆς γε τοιαύτης. Ἤδη πώποτε οὖν ἡ δακοῦσα κακόν τι σοὶ ἔδωκεν, ἢ λακτίσασα, οἷα ὑπὸ θηρίων ἤδη πολλοὶ ἔπαθον; Ἀλλὰ νὴ Δία, ἔφη, λέγει ἃ οὐκ ἄν τις ἐπὶ τῷ βίῳ παντὶ βούλοιτο ἀκοῦσαι. Σὺ δὲ πόσα, ἔφη ὁ Σωκράτης, οἴει ταύτῃ δυσάνεκτα, καὶ τῇ φωνῇ καὶ τοῖς ἔργοις, ἐκ παιδίου δυσκολαίνων καὶ ἡμέρας καὶ νυκτὸς πράγματα παρασχεῖν; πόσα δὲ λυπῆσαι κάμνων; Ἀλλ' οὐδεπώποτε αὐτὴν, ἔφη, οὔτ' εἶπα οὔτ' ἐποίησα οὐδὲν, ἐφ' ᾧ ἠσχύνθη. Τί δέ; οἴει, ἔφη, χαλεπώτερον εἶναί σοι ἀκούειν ὧν αὐτὴ λέγει, ἢ τοῖς ὑποκριταῖς, ὅταν ἐν ταῖς τραγῳ-

---

nemo tamen ejus asperitatem perferre possit. Et Socrates, Utrum existimas, inquit, toleratu esse difficilius, feraene saevitiam, an matris? Equidem, inquit, matris arbitror, quae sane talis sit. Ergone unquam vel mordendo vel recalcitrando te laesit? cujusmodi a belluis multi perpessi sunt. At enim profecto, inquit, ea loquitur, quae quis audire vel ob omnem hanc vitam nolit. Tu vero quam multa, inquit Socrates, aegre toleranda te illi negotia, tum voce tum facto, tum interdiu tum noctu, a prima usque aetate molestando putas exhibuisse; quantum doloris attulisse, quoties aegrotares? At ego illi, inquit, neque dixi, neque feci quidquam, cu-

Digitized by Google

δίαις ἀλλήλους τὰ ἴσχατα λέγωσιν; ἀλλ', οἶμαι, ἐπειδὴ οὐκ οἴονται τῶν λεγόντων οὔτε τὸν ἐλέγχοντα ἐλέγχειν ἵνα ζημιώσῃ, οὔτε τὸν ἀπειλοῦντα ἀπειλεῖν ἵνα κακόν τι ποιήσῃ, ῥᾳδίως φέρουσι. σὺ δ' εὖ εἰδὼς, ὅτι, ἃ λέγει σοι ἡ μήτηρ, οὐ μόνον οὐδὲν κακὸν νοοῦσα λέγει, ἀλλὰ καὶ βουλομένη σοι ἀγαθὰ εἶναι, ὅσα οὐδενὶ ἄλλῳ, χαλεπαίνεις; ἢ νομίζεις κακόνους τὴν μητέρα σοι εἶναι; Οὐ δῆτα, ἔφη, τοῦτό γε οὐκ οἶμαι. Καὶ ὁ Σωκράτης, Οὐκοῦν, ἔφη, ταύτην, εὔνουν τέ σοι οὖσαν, καὶ ἐπιμελομένην, ὡς μάλιστα δύναται, κάμνοντος, ὅπως ὑγιαίνῃς τε, καὶ ὅπως τῶν ἐπιτηδείων μηδενὸς ἐνδεὴς ἔσῃ, καὶ πρὸς τούτοις, πολλὰ τοῖς θεοῖς εὐχομένην ἀγαθὰ

jus me pudet. Quid autem, inquit, molestius esse putas, tibine audire, quae dicit ipsa; an histrionibus quum in tragoediis alter alteri convicia extrema dicit? Enimvero arbitror eos, quia non existimant vel illum qui redarguit, laedendi caussa redarguere, vel minantem, damni alicujus inferendi caussa minari, aequo illa ferre animo. Tu vero, quum plane scias, matrem, quae dicit, non modo nihil mali cogitantem dicere, sed etiam optantem tibi tantum boni, quantum alii nulli, inique fers? an existimas matrem esse tibi malevolam? Non equidem, inquit: hoc certe non arbitror. Et Socrates, Ergone tu illam, ait, quae tibi benevola est, et, quam maxime potest, aegrotantem curat, ut valeas ac re

Digitized by Google

ὑπὲρ σοῦ, καὶ εὐχὰς ἀποδιδοῦσαν, χαλεπὴ εἶναι φῄς; ἐγὼ μὲν οἶμαι, εἰ τοιαύτην μὴ δύνασαι φέρειν μητέρα, τἀγαθά σε οὐ δύνασθαι φέρειν.

Εἰπὲ δέ μοι, ἔφη, πότερον ἄλλον τινὰ οἴει δεῖν θεραπεύειν; ἢ παρεσκεύασαι μηδενὶ ἀνθρώπων πειρᾶσθαι ἀρέσκειν, μηδὲ ἕπεσθαι, μήτε πείθεσθαι, μήτε στρατηγῷ, μήτε ἄλλῳ ἄρχοντι; Ναὶ μὰ Δία ἔγωγε, ἔφη. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, καὶ τῷ γείτονι βούλει σὺ ἀρέσκειν, ἵνα σοι καὶ πῦρ ἐναύῃ, ὅταν τούτου δέῃ, καὶ ἀγαθοῦ τε σοὶ γίγνηται συλλήπτωρ, καὶ, ἄν τι σφαλλόμενος τύχῃς, εὐνοϊκῶς ἐγγύθεν βοηθῇ σοι; Ἔγωγ', ἔφη. Τί δέ; συνοδοιπόρον, ἢ σύμπλουν, ἢ εἴ τῳ ἄλ-

necessaria nulla egeas, praeterque haec, multa Diis bona pro te vovet, ac vota persolvit, saevam esse dicis? Equidem statuo, si matrem ejusmodi ferre non possis, non posse te bona ferre.

Dic autem mihi, ait, utrum tibi alium quempiam colendum putas? an ita comparatus es, ut nemini hominum placere studeas, neminem sequi, nemini parere, sive sit imperator, sive magistratus alius? Equidem profecto, ait. Ergo, inquit Socrates, etiam vicino placere velis, ut ignem accendat tibi, quum opus erit, teque in aliqua re bona adjuvet, ac si quid adversi accidat, e propinquo tibi benevole succurrat? Equidem, ait. Quid autem? nihil interesse putas, comitem itineris, aut navigationis, aut

Digitized by Google

λῳ ἐντυγχάνοις, οὐδὲν ἂν σοι διαφέροι φίλον ἢ ἐχθρὸν γενέσθαι, ἢ καὶ τῆς παρὰ τούτων εὐνοίας οἴει δεῖν ἐπιμελεῖσθαι; Ἔγωγ', ἔφη. Εἶτα τούτων μὲν ἐπιμελεῖσθαι παρεσκεύασαι, τὴν δὲ μητέρα τὴν πάντων μάλιστά σε φιλοῦσαν οὐκ οἴει δεῖν θεραπεύειν; οὐκ οἶσθα, ὅτι καὶ ἡ πόλις ἄλλης μὲν ἀχαριστίας οὐδεμιᾶς ἐπιμελεῖται, οὐδὲ δικάζει, ἀλλὰ περιορᾷ τοὺς εὖ πεπονθότας χάριν οὐκ ἀποδιδόντας· ἐὰν δέ τις γονέας μὴ θεραπεύῃ, τούτῳ δίκην τε ἐπιτίθησι, καὶ ἀποδοκιμάζουσα οὐκ ἐᾷ ἄρχειν τοῦτον, ὡς οὔτε ἂν τὰ ἱερὰ εὐσεβῶς θυόμενα ὑπὲρ τῆς πόλεως, τούτου θύοντος, οὔτε ἄλλο καλῶς καὶ δικαίως οὐδὲν ἂν τούτου πράξαντος; καὶ νὴ Δία ἐάν τις τῶν γο-

---

quempiam, in quem incideris, amicum an inimicum habeas; vel potius eorum etiam benevolentiam consequendam esse putas? Equidem, ait. Ergo comparatus es horum habere rationem, matrem vero, quae te plus omnibus hisce diligit, colendam tibi non existimas? An ignoras, civitatem alterius quidem nullius ingratitudinis habere rationem, nec in eam actionem dare, sed sueque deque ferre, si beneficiis affecti gratiam non referant: at si quis parentes non colat, eum poena multare, rejectumque magistratus obire non pati, quod ab illo pro salute civitatis non possint neque sacrificia pie sacrificari, nec aliud quicquam bene aut juste agi? Etiam hoc profecto, si quis parentum mortuorum sepulchra

Digitized by Google

νέων τελευτησάντων τοὺς τάφους μὴ κοσμῇ, καὶ τοῦτο ἐξετάζει ἡ πόλις ἐν ταῖς τῶν ἀρχόντων δοκιμασίαις. Σὺ οὖν, ὦ παῖ, ἂν σωφρονῇς, τοὺς μὲν θεοὺς παραιτήσῃ συγγνώμονάς σοι εἶναι, εἴ τι παρημέλησας τῆς μητρὸς, μή σε καὶ οὗτοι νομίσαντες ἀχάριστον εἶναι, οὐκ ἐθέλωσιν εὖ ποιεῖν· τοὺς δὲ ἀνθρώπους φυλάξῃ, μή σε αἰσθόμενοι τῶν γονέων ἀμελοῦντα πάντες ἀτιμάσωσιν, εἶτα ἐν ἐρημίᾳ φίλων ἀναφανῇς. εἰ γάρ σε ὑπολάβοιεν πρὸς τοὺς γονεῖς ἀχάριστον εἶναι, οὐδεὶς ἂν νομίσειεν, εὖ σε ποιήσας χάριν ἀπολήψεσθαι.

γ'. Χαιρεφῶντα δέ ποτε καὶ Χαιρεκράτην, ἀδελφὼ μὲν ὄντε ἀλλήλοιν, ἑαυτῷ δὲ γνωρίμω, αἰσθόμενος διαφερομένω, ἰδὼν τὸν Χαιρε-

non ornet, respublica magistratuum in examinibus inquirit. Ergo tu, mi fili, si animo utaris sano, Deos ipsos deprecaberis, ut ignoscant tibi, si quid deliquisti erga matrem, ne te illi et ingratum esse existiment, et benefacere tibi nolint: et cavebis ab hominibus, ne hi te nullam animadvertentes parentum rationem habere, omnes pro nihilo habeant, et privatus amicis omnibus appareris. Nam si te suspicabuntur erga parentes ingratum esse, nemo existimaturus est, se pro beneficiis tibi praestitis gratiam reportaturum.

3. Caeterum animadvertens aliquando *Socrates*, Chaerephontem et Chaerecratem fratres familiares suos, inter se dissidere; ubi Chaerecratem vidisset, Dic mihi, mi Chaere-

Digitized by Google

κράτην, Εἰπέ μοι, ἔφη, ὦ Χαιρέκρατες, οὐ δήπου καὶ σὺ εἷ τῶν τοιούτων ἀνθρώπων, οἳ χρησιμώτερον νομίζουσι χρήματα ἢ ἀδελφούς, καὶ ταῦτα, τῶν μὲν, ἀφρόνων ὄντων, τοῦ δὲ, φρονίμου· καὶ τῶν μὲν, βοηθείας δεομένων, τοῦ δὲ, βοηθεῖν δυναμένου· καὶ πρὸς τούτοις, τῶν μὲν, πλειόνων ὑπαρχόντων, τοῦ δὲ, ἑνός. Θαυμαστὸν δὲ καὶ τοῦτο, εἴ τις τοὺς μὲν ἀδελφοὺς ζημίαν ἡγεῖται, ὅτι οὐ καὶ τὰ τῶν ἀδελφῶν κέκτηται, τοὺς δὲ πολίτας οὐχ ἡγεῖται ζημίαν, ὅτι οὐ καὶ τὰ τῶν πολιτῶν ἔχει, ἀλλ' ἐνταῦθα μὲν δύναται λογίζεσθαι, ὅτι κρεῖττον σὺν πολλοῖς οἰκοῦντα, ἀσφαλῶς ἀρκοῦντα ἔχειν, ἢ μόνον διαιτώμενον τὰ τῶν πολιτῶν ἐπικινδύνως πάντα κεκτῆσθαι,

---

crates, ait, num tu ex iis es hominibus, qui utilius quid esse divitias putant, quam fratrem; quanquam illae imprudentes sunt, hic prudens: illae ope indigeant, hic opitulari possit: illae denique multae sint, frater autem unus? Mirum hoc quoque, posse quem fratres suas sibi detrimento esse putare, propterea quod non etiam fratrum facultates possidet; at cives sibi detrimento non esse arbitrari, quod civium bona non habet; sed posse hac in parte ratiocinari, quod praestet, ut cum multis habitans secure, quae sufficiant, habeat; quam si solus vivat, ac civium facultates cum periculo omnes possideat: in fratribus vero hoc idem ignorant homines. Ac servos quidem emunt, qui possunt, ut laborum socios ha-

Digitized by Google

ἐπὶ δὲ τῶν ἀδελφῶν τὸ αὐτὸ τοῦτο ἀγνοοῦσι. Καὶ οἰκέτας μὲν οἱ δυνάμενοι ὠνοῦνται, ἵνα συνεργοὺς ἔχωσι, καὶ φίλους κτῶνται, ὡς βοηθῶν δεόμενοι· τῶν δὲ ἀδελφῶν ἀμελοῦσιν, ὥσπερ ἐκ πολιτῶν μὲν γιγνομένους φίλους, ἐξ ἀδελφῶν δὲ οὐ γιγνομένους. Καὶ μὴν πρὸς φιλίαν μέγα μὲν ὑπάρχει τὸ ἐκ τῶν αὐτῶν φῦναι, μέγα δὲ τὸ ὁμοῦ τραφῆναι· ἐπεὶ καὶ τοῖς θηρίοις πόθος τις ἐγγίγνεται τῶν συντρόφων. πρὸς δὲ τούτοις καὶ οἱ ἄλλοι ἄνθρωποι τιμῶσί τε μᾶλλον τοὺς συναδέλφους ὄντας τῶν ἀναδέλφων, καὶ ἧττον τούτοις ἐπιτίθενται.

Καὶ ὁ Χαιρεκράτης εἶπεν, Ἀλλ' εἰ μέν, ὦ Σώκρατες, μὴ μέγα εἴη τὸ διάφορον, ἴσως ἂν δέοι φέρειν τὸν ἀδελφὸν, καὶ μὴ μικρῶν ἕνεκα

beant; amicos parant, quod opitulatoribus egeant: fratres autem negligunt, quasi ex civibus amici fieri possint, ex fratribus non possint. Atqui multum ad amicitiam conducit, ex iisdem natum esse; multum, una nutriri. Nam et belluis quoddam eorum, quae una nutrita sunt, desiderium innascitur. Praeterea caeteri quoque homines honorant magis illos, qui fratres habent, quam qui nullos; ac minus eos aggrediuntur.

Tum Chaerecrates, Enimvero, mi Socrates, ait, si non magnum sit dissidium, fortasse ferendus sit frater, neque ob exiguas caussas fugiendus. Quippe bonum quoddam (sicut et tu dicis) frater est, si talis sit,

Digitized by Google

φεύγειν· (ἀγαθὸν γὰρ, ὥσπερ καὶ σὺ λέγεις, ἀδελφὸς, ὢν οἷον δεῖ) ὁπότε μέντοι παντὸς ἐνδέοι, καὶ πᾶν τὸ ἐναντιώτατον εἴη, τί ἄν τις ἐπιχειροίη τοῖς ἀδυνάτοις; Καὶ ὁ Σωκράτης ἔφη, Πότερα δὲ, ὦ Χαιρέκρατες, οὐδενὶ ἀρέσαι δύναται Χαιρεφῶν, ὥσπερ οὐδὲ σοὶ, ἢ ἔστιν οἷς καὶ πάνυ ἀρέσκῃ; Διὰ τοῦτο γάρ τοι, ἔφη, ὦ Σώκρατες, ἄξιόν ἐστιν ἐμὲ μισεῖν αὐτὸν, ὅτι ἄλλοις μὲν ἀρέσκειν δύναται, ἐμοὶ δὲ, ὅπου ἂν ταρῇ, πανταχοῦ καὶ ἔργῳ καὶ λόγῳ ζημία μᾶλλον ἢ ὠφέλειά ἐστιν. Ἆρ' οὖν, ἔφη ὁ Σωκράτης, ὥσπερ ἵππος τῷ ἀνεπιστήμονι μὲν ἐγχειροῦντι δὲ χρῆσθαι, ζημία ἐστὶν, οὕτω καὶ ἀδελφὸς, ὅταν τις αὐτῷ μὴ ἐπιστάμενος ἐγχειρῇ χρῆσθαι, ζημία ἐστί;

---

qualem esse convenit. Quum vero plene desit officio, et in omni re maxime adversarius sit; quamobrem quis ea, quae fieri nequeunt, conetur? Utrum vero, mi Chaerecrates, inquit Socrates, nemini Chaerephon placere potest, sicut et tibi non placet? an sunt nonnulli, quibus egregie placet? Hac ipsa de causa, mi Socrates, ait, aequum est, illum mihi esse odio, quod aliis quidem placere possit, mihi vero, ubicunque adest, verbis ac factis detrimento potius, quam commodo sit. Ergone, ait Socrates, perinde atque equus homini imperito, qui uti eo conetur, damno est; sic et frater, quum quis eo vult uti, qui nescit, est detrimento? Quonam modo

Πῶς δ' ἂν ἐγὼ, ἔφη ὁ Χαιρεκράτης, ἀνεπιστήμων εἴην ἀδελφῷ χρῆσθαι, ἐπιστάμενός γε καὶ εὖ λέγειν τὸν εὖ λέγοντα, καὶ εὖ ποιεῖν τὸν εὖ ποιοῦντα; τὸν μέντοι καὶ λόγῳ καὶ ἔργῳ πειρώμενον ἐμὲ ἀνιᾶν, οὐκ ἂν δυναίμην οὔτ' εὖ λέγειν, οὔτ' εὖ ποιεῖν, ἀλλ' οὐδὲ πειράσομαι. Καὶ ὁ Σωκράτης ἔφη, Θαυμαστά γε λέγεις, ὦ Χαιρέκρατες, εἰ κύνα μὲν, εἴ σοι ἦν ἐπὶ προβάτοις ἐπιτήδειος ὤν, καὶ τοὺς μὲν ποιμένας ἡσπάζετο, σοὶ δὲ προσιόντι ἐχαλέπαινεν, ἀμελήσας ἂν τοῦ ὀργίζεσθαι, ἐπειρᾶ εὖ ποιήσας πραΰνειν αὐτόν· τὸν δὲ ἀδελφὸν φῂς μὲν μέγα ἂν ἀγαθὸν εἶναι, ὄντα πρὸς σὲ οἷον δεῖ, ἐπίστασθαι δὲ ὁμολογῶν καὶ εὖ ποιεῖν καὶ εὖ λέγειν, οὐκ

---

erga fratrem, inquit Chaerecrates, me gerere non norim, quum et verbis et factis benignus in illum esse possim, qui verbis itidem ac factis benignus erga me est? At vero qui et verbis et factis mihi molestiam parere dat operam, benigne me in eum verbo factove gerere neque possum neque conabor. Et Socrates, Mira profecto narras, inquit, mi Chaerecrates; si canis tibi sit ovibus custodiendis aptus, ac is pastoribus quidem blandiatur, in te vero adeuntem saeviat, omissa iracundia, tua gratia eniti soles, ut eum mitiges benefaciendo: fratrem vero, quem magnum quoddam bonum ais esse si erga te talis sit, qualem esse decet, non te operam dare ut optimum tibi reddas; praesertim quum et

Digitized by Google

ἐπιχειρεῖς μηχανᾶσθαι, ὅπως σοι ὡς βέλτιστος ᾖ.

Καὶ ὁ Χαιρεκράτης, Δέδοικα, ἔφη, ὦ Σώκρατες, μὴ οὐκ ἔχω ἐγὼ τοσαύτην σοφίαν, ὥστε Χαιρεφῶντα ποιῆσαι πρὸς ἐμὲ οἷον δεῖ. Καὶ μὴν οὐδέν γε ποικίλον, ἔφη ὁ Σωκράτης, οὐδὲ καινὸν δεῖ ἐπ' αὐτὸν, ὡς ἐμοὶ δοκεῖ, μηχανᾶσθαι· οἷς δὲ καὶ σὺ ἐπίστασαι αὐτὸς, οἶμαι ἂν αὐτὸν ἀλόντα περὶ πολλοῦ ποιεῖσθαί σε. Οὐκ ἂν φθάνοις, ἔφη, λέγων, εἴ τι ἤσθησαί με φίλτρον ἐπιστάμενον, ὃ ἐγὼ εἰδὼς λέληθα ἐμαυτόν; Λέγε δή μοι, ἔφη, εἴ τινα τῶν γνωρίμων βούλοιο κατεργάσασθαι, ὁπότε θύοι, καλεῖν σε ἐπὶ δεῖπνον, τί ἂν ποιοίης; Δῆλόν ὅτι κατάρχοιμι ἂν τοῦ αὐτὸς, ὅτε

verbis et factis benignum esse ex confesso sciat.

Vereor equidem, ait Chaerecrates, ne non tanta sit in me solertia, mi Socrates, ut Chaerephontem erga me talem reddere possim, qualem esse oportet. Atqui, subjecit Socrates, nihil artificiosi, neque novi, ut ejus caussa excogites opus est, mea quidem sententia: nam existimo eum illis artibus, quas tu non ignoras, allectum abs te, plurimi te facturum. Dic mihi prius, inquit, an me quasdam illecebras nosse senseris, quas ipsemet scire me ignoraverim? Tu vero mihi dicito, inquit, si quem familiarium eo deducere velles, ut, ubi rem sacram facit, ad coenam te vocaret; quid faceres? Nimirum,

Digitized by Google

θύσιμι, καλεῖν ἐκεῖνον. Εἰ δὲ βούλοιο τῶν φίλων τινὰ προτρέψασθαι, ὁπότε ἀποδημοίης, ἐπιμελεῖσθαι τῶν σῶν, τί ἂν ποιοίης; Δῆλον ὅτι πρότερος ἂν ἐγχειροίην ἐπιμελεῖσθαι τῶν ἐκείνου, ὁπότε ἀποδημοίη. Εἰ δὲ βούλοιο ξένον ποιῆσαι ὑποδέχεσθαι σεαυτὸν, ὁπότε ἔλθοις εἰς τὴν ἐκείνου, τί ἂν ποιοίης; Δῆλον ὅτι καὶ τοῦτον πρότερος ὑποδεχοίμην ἄν, ὁπότε ἔλθοι Ἀθήναζε. καὶ εἴ γε βουλοίμην αὐτὸν προθυμεῖσθαι διαπράττειν μοι, ἐφ' ἃ ἥκοιμι, δῆλον ὅτι καὶ τοῦτο δέοι ἂν πρότερον αὐτὸν ἐκείνῳ ποιεῖν. Πάντα ἄρα σύ γε τὰ ἐν ἀνθρώποις φίλτρα ἐπιστάμενος πάλαι ἀπεπρύττου. ἢ ὀκνεῖς, ἔφη, ἄρξαι, μὴ αἰσχρὸς φανῇς, ἐὰν πρότερος τὸν ἀδελφὸν εὖ

prior hominem, ipse rem sacram faciens, invitarem. Et si velles amicorum aliquem impellere, ut, te peregrinante, rerum tuarum curam gereret, quid faceres? Nimirum prior operam darem, ut, eo peregrinante, res ipsius curarem. Et si velles ab hospite impetrare, ut te exciperet ad se venientem, quid faceres? Nimirum hunc quoque prior exciperem, venientem Athenas: atque etiam si vellem efficere alacrem ad ea mihi conficienda, quorum causa venirem, necesse foret, ut ipse prior idem illi praestarem. Ergo tu quum omnes illecebras, quae inter homines sunt, jamdudum noris, eas celabas. An cunctaris, inquit, principium facere propterea, ne turpis videare, si prior beneficio fratrem afficias?

Digitized by Google

σαιῆς; καὶ μὴν πλείστου γε δοκεῖ ἀνὴρ ἐπαίνου ἄξιος εἶναι, ὃς ἂν φθάνῃ τοὺς μὲν πολεμίους κακῶς ποιῶν, τοὺς δὲ φίλους εὐεργετῶν. εἰ μὲν οὖν ἐδόκει μοι Χαιρεφῶν ἡγεμονικώτερος εἶναι σοῦ πρὸς τὴν φιλίαν ταύτην, ἐμαυτὸν ἂν ἐπειρώμην πείθειν πρότερον ἐγχειρεῖν σοὶ σε φίλον ποιεῖσθαι· νῦν δέ μοι σὺ δοκεῖς ἡγούμενος μᾶλλον ἂν ἐξεργάσασθαι τοῦτο.

Καὶ ὁ Χαιρεκράτης εἶπεν, Ἄτοπα λέγεις, ὦ Σώκρατες, καὶ οὐδαμῶς πρὸς σοῦ, ὅς γε πελεύεις ἐμὲ νεώτερον ὄντα καθηγεῖσθαι. καίτοι τούτου γε παρὰ πᾶσιν ἀνθρώποις τἀναντία νομίζεται, τὸν πρεσβύτερον ἡγεῖσθαι παντὸς καὶ ἔργου καὶ λόγου. Πῶς; ἔφη ὁ

Atqui maxima vir laude dignus esse videtur, qui inimicos, laedendo: benefaciendo, amicos antevertit. Quare si mihi videretur Chaerephon ad naturalem hanc amicitiam ineundam aptior esse, operam in illo persuadendo collocarem, ut prior amicitiam tuam conciliare sibi studeret; nunc tu mihi videris, si rem ordiare, rectius confecturus.

Absurdia dicis, mi Socrates, inquit Chaerecrates, minimeque tibi convenientia, qui me minorem aetate jubes initium facere: quum apud omnes homines contrarium quiddam in more positum sit, nimirum ut aetate provectior in omni dicto factoque principium faciat. Qui hoc? ait Socrates; annon ubique receptum more est, ut junior grandiori occurrenti de

Digitized by Google

Σωκράτης, οὐ γὰρ καὶ ὁδοῦ παραχωρῆσαι τὸν νεώτερον πρεσβυτέρῳ συντυγχάνοντι ταχοῦ νομίζεται, καὶ οὐ καθήμενον ὑπαναστῆναι, καὶ κοίτῃ μαλακῇ τιμῆσαι, καὶ λόγων ὑπεῖξαι; ὦ ἀγαθέ, μὴ ὄκνει, ἔφη, ἀλλ' ἐγχείρει τὸν ἄνδρα καταπραΰνειν· καὶ πάνυ ταχύ σοι ὑπακούσεται. οὐχ ὁρᾷς, ὡς φιλότιμός ἐστι καὶ ἐλευθέριος; τὰ μὲν γὰρ πονηρὰ ἀνθρώπια οὐκ ἂν ἄλλως μᾶλλον ἕλοις, ἢ εἰ διδοίης τι· τοὺς δὲ καλοὺς κἀγαθοὺς ἀνθρώπους προσφιλῶς χρώμενος μάλιστ' ἂν κατεργάσαιο.

Καὶ ὁ Χαιρεκράτης εἶπεν, Ἐὰν οὖν, ἐμοῦ ταῦτα ποιοῦντος, ἐκεῖνος μηδὲν βελτίων γίγνηται; Τί γὰρ ἄλλο, ἔφη ὁ Σωκράτης, ἢ κιν-

via cedat: annon ut sedens assurgat, et lecti mollis honorem tribuat, et sinat, ut prior eloquatur? Ne cuncteris, inquit, vir bone, sed hominem mitigare tenta, qui quidem celeriter admodum tibi obediet. Non vides, quam cupidus honoris, quam liberalis sit? Homuncionnes enim futiles alia ratione nulla facilius allicies, quam aliquid largiendo: pulchri bonique studiosos homines, si eum eis amanter agas, maxime tibi conformaveris.

Et Chaerecrates, Quid si, inquit, me hoc agente, nihilo fiat ille melior? Quid aliud periculi fuerit, inquit Socrates, quam ut tu declares, te quidem

Digitized by Google

ἀμυδύσεις ἐπιδείξαι, σὺ μὲν χρηστός τε καὶ φιλάδελφος εἶναι, ἐκεῖνος δὲ φαῦλός τε καὶ οὐκ ἄξιος εὐεργεσίας; ἀλλ' οὐδὲν οἶμαι τοιοῦτον ἔσεσθαι· νομίζω γὰρ αὐτὸν, ἐπιδὰν αἴσθηταί σε προκαλουμένην ἑαυτὸν εἰς τὸν ἀγῶνα τοῦτον, τάχιστα φιλονικήσειν, ὅπως περιγένηταί σοῦ λόγῳ καὶ ἔργῳ εὖ ποιῶν. Νῦν μὲν γὰρ οὕτως, ἔφη, διάκεισθον, ὥσπερ εἰ τὼ χεῖρε, ἃς ὁ θεὸς ἐπὶ τὸ συλλαμβάνειν ἀλλήλαιν ἐποίησεν, ἀφειμένω τούτου τράποιντο πρὸς τὸ διαπαλύειν ἀλλήλω· ἢ εἰ τὼ πόδε, θεῖα μοίρᾳ πεποιημένω πρὸς τὸ συνεργεῖν ἀλλήλαιν, ἀμελήσαντε τούτου ἐμποδίζοιεν ἀλλήλω. οὐκ ἂν πολλὴ ἀμαθία εἴη καὶ πανοδεσιμονία, τοῖς ἐπ' ὠφελείᾳ πεποιημένοις ἐπὶ βλάβῃ

---

virum bonum fratrisque studiosum esse; illum vero pravum, et indignum beneficio? sed horum nihil futurum arbitror. Nam existimo ipsum, ubi animadverterit se ad certamen hoc abs te provocari, magna contentione conaturum, ut te verbis re ipsa superare beneficentia possit. Nunc quidem, inquit, ita affecti estis, ac si manus ambae, quas Deus ita circo creavit, ut mutuo se juvent, hoc omisso, ad impediendum sese invicem converterent: vel si pedes ambo, qui divino consilio mutuae ad operas conditi sunt, hoc ipso neglecto, sibi invicem impedimento essent. Annon magna fuerit inscitia, magnaque infelicitas, iis ad detrimentum uti, quae ad utilitatem facta sunt? Et profecto fratres duos ger-

χρῆσθαι. Καὶ μὴν ἀδελφώ γε, ὡς ἐμοὶ δοκεῖ, ὁ θεὸς ἐποίησεν ἐπὶ μείζονι ὠφελείᾳ ἀλλήλοιν, ἢ χεῖρέ τε, καὶ πόδε, καὶ ὀφθαλμὼ, καὶ τἄλλα, ὅσα ἀδελφὰ ἔφυσεν ἀνθρώποις· χεῖρες μὲν γὰρ, εἰ δέοι αὐτὰς τὰ πλέον ὀργυιᾶς διέχοντα ἅμα ποιῆσαι, οὐκ ἂν δύναιντο· πόδες δ' οὐδ' ἂν ἐπὶ τὰ ὀργυιὰν διέχοντα ἔλθοιεν ἅμα· ὀφθαλμοὶ δὲ, οἱ καὶ δοκοῦντες ἐπὶ πλεῖστον ἐξικνεῖσθαι, οὐδ' ἂν τῶν ἔτι ἐγγυτέρω ὄντων τὰ ἔμπροσθεν ἅμα καὶ τὰ ὄπισθεν ἰδεῖν δύναιντο· ἀδελφὼ δὲ, φίλω ὄντε, καὶ πολὺ διεστῶτε, πράττετον ἅμα καὶ τὰ ἐπ' ὠφελείᾳ ἀλλήλοιν.

δ'. Ἤκουσα δέ ποτε αὐτοῦ καὶ περὶ φίλων διαλεγομένου, ἐξ ὧν ὅμοιγε ἐδόκει μάλιστ' ἂν

---

manos, mea quidem sententia, condidit Deus majorem ad utilitatem mutuam, quam manus utrasque, quam pedes, quam oculos, quam caetera, quaecunque natura voluit in hominibus esse germana. Quippe manus, si eas necesse sit illa simul agere, quae longiori spatio quam unius orgyae distent, nequaquam id poterint: pedes, ne ad ea quidem, quae orgyae distent inter se spatio, simul accesserint: oculi, qui pertingere quam longissime putantur, ne propiora quidem a fronte simul et a tergo videre possint. Fratres autem, si amici sint, etiam magno dissiti intervallo, ea simul agunt, quae et ad utriusque utilitatem conducunt.

4. Et Socratem aliquando de amicis etiam id disserentem

τις ὠφελεῖσθαι πρὸς φίλων κτῆσίν τε καὶ χρείαν. τοῦτο μὲν γὰρ δὴ πολλῶν ἔφη ἀκούειν, ὡς πάντων κτημάτων κράτιστον ἂν εἴη φίλος σαφὴς καὶ ἀγαθός· ἐπιμελουμένους δὲ παντὸς μᾶλλον ὁρᾶν ἔφη τοὺς πολλοὺς ἢ φίλων κτήσεως. Καὶ γὰρ οἰκίας, καὶ ἀγροὺς, καὶ ἀνδράποδα, καὶ βοσκήματα, καὶ σκεύη κτωμένους τε ἐπιμελῶς ὁρᾶν ἔφη, καὶ τὰ ὄντα σώζειν πειρωμένους· φίλων δὲ, ὃ μέγιστον ἀγαθὸν εἶναί φασιν, ὁρᾶν ἔφη τοὺς πολλοὺς οὔτε, ὅπως κτήσωνται, φροντίζοντας, οὔτε, ὅπως οἷόν τε, ἑαυτοῖς σώζοντας. Ἀλλὰ καὶ καμνόντων φίλων τε καὶ οἰκετῶν, ὁρᾶν τινὰς ἔφη τοῖς μὲν οἰκέταις καὶ ἰατροὺς εἰσάγοντας, καὶ τἆλλα πρὸς ὑγιείαν ἐπιμε-

audivi, de quo mihi quidem videretur aliquis utilitatem maximam ad conciliationem et usum amicorum percepturus. Nam audire se dicebat ex multis, omnium possessionum praestantissimam esse amicum sapientem ac bonum: videre tamen complures cujusvis rei cura potius affici, quam ut amicos sibi compararent. Aiebat enim videre se quosdam, qui et domos, et praedia, et mancipia, et rem pecuariam, et suppellectilem studiose comparant, acquisitaque conservare conantur; at complures amicum (quem bonum esse maximum perhibent) neque ut sibi comparent sollicitos esse; neque, quantum fieri potest, eum sibi conservantes. Quinetiam videre se aiebat nonnullos, amicis et servis simul aegrotanti-

Digitized by Google

πῶς παρασκευάζοντας, τῶν δὲ φίλων ὀλιγωροῦντας· ἀποθανόντων τε ἀμφοτέρων, ἐπὶ μὲν τοῖς οἰκέταις ἀχθομένους, καὶ ζημίαν ἡγουμένους, ἐπὶ δὲ τοῖς φίλοις οὐδὲν οἰομένους ἐλαττοῦσθαι· καὶ τῶν μὲν ἄλλων κτημάτων οὐδὲν ἐῶντας ἀθεράπευτον οὐδ' ἀνεπίσκεπτον, τῶν δὲ φίλων ἐπιμελείας δεομένων ἀμελοῦντας. Ἔτι δὲ πρὸς τούτοις ὁρᾶν ἔφη τοὺς πολλοὺς τῶν μὲν ἄλλων κτημάτων, καὶ πάνυ πολλῶν αὐτοῖς ὄντων, τὸ πλῆθος εἰδότας, τῶν δὲ φίλων ὀλίγων ὄντων οὐ μόνον τὸ πλῆθος ἀγνοοῦντας, ἀλλὰ καὶ τοῖς πυνθανομένοις τοῦτο καταλέγειν ἐγχειρήσαντας, οὓς ἐν τοῖς φίλοις ἔθεσαν, πάλιν τούτους ἀνατίθεσθαι· τοσοῦτον αὐτοὺς τῶν φίλων φροντίζειν. Καί-

---

bus, ad servos quidem adducere etiam medicos, aliaque valetudini conducentia studiose parare, quum interim amicos negligant. Itidem utrisque morientibus, servorum eos obitum graviter ferre, ac detrimento ducere; in amicis nullum se damnum fecisse putare: nec in reliquis facultatibus quicquam non curatum, vel inexploratum relinquere, quum amicos, egentes ipsorum cura, negligant. Praeterea videre se aiebat, plerosque facultatum suarum, tametsi admodum multas habeant, numerum scire: sed tantum abesse, ut amicorum, quos paucos habent, numerum norint; ut etiam quum sciscitantibus aliis indicare conantur, quos inter amicos figebant, hos iterum refigunt: tantum scilicet eis amicos esse curae!

Digitized by Google

τοι πρὸς ποῖον κτῆμα τῶν ἄλλων παραβαλλόμενος φίλος ἀγαθὸς, οὐκ ἂν πολλῷ κρείττων φανείη; ποῖος γὰρ ἵππος, ἢ ποῖον ζεῦγος οὕτω χρήσιμον, ὥσπερ ὁ χρηστὸς φίλος; ποῖον δὲ ἀνδράποδον οὕτως εὔνουν καὶ παραμόνιμον; ἢ ποῖον ἄλλο κτῆμα οὕτω πάγχρηστον; Ὁ γὰρ ἀγαθὸς φίλος ἑαυτὸν τάττει πρὸς πᾶν τὸ ἐλλεῖπον τῷ φίλῳ, καὶ τῆς τῶν ἰδίων κατασκευῆς καὶ τῶν κοινῶν πράξεων· καὶ ἄν τε τινὰ εὖ ποιῆσαι δέῃ, συνεπισχύει, ἄν τε τὶς φόβος ταράττῃ, συμβοηθεῖ, τὰ μὲν συναναλίσκων, τὰ δὲ συμπράττων, καὶ τὰ μὲν συμπείθων, τὰ δὲ βιαζόμενος, καὶ εὖ μὲν πράττοντας πλεῖστα εὐφραίνων, σφαλλομένους δὲ πλεῖστα ἐπανορ-

---

Atqui amicus bonus cum quanam possessione comparatus, non sit multo melior? nam qui equus, quodve jumentorum par adeo fuerit utile ac bonus amicus? quodnam mancipium adeo benevolum fuerit, tecumque manendi studiosum? quaenam alia possessio sic ex omni parte sit utilis? Etenim amicus bonus seipsum instruit, ad omne, quod deest amicis, *supplendum* et in rebus privatis, et in publicis. Idem, sive quis afficiendus est beneficio, vires sufficit: seu quis metus perturbet, fert opem partim sumptus impertiendo, partim operas mutuas tradendo; partim una persuadendo, partim una cogendo. Idem bene agentes exhilarat, et calamitatibus pressos

θῶν. Ἃ δὲ αἵ τε χεῖρες ἑκάστῳ ὑπηρετοῦσι, καὶ ὀφθαλμοὶ προορῶσι, καὶ τὰ ὦτα προακούουσι, καὶ οἱ πόδες διανύτουσι, τούτων φίλος εὐεργετῶν οὐδενὸς λείπεται· πολλάκις δὲ ἃ πρὸ αὐτοῦ τις ἢ οὐκ ἐξειργάσατο, ἢ οὐκ εἶδεν, ἢ οὐκ ἤκουσεν, ἢ οὐ διήνυσε, ταῦτα ὁ φίλος πρὸς τοὺς φίλους ἐξήρκεσεν. ἀλλ' ὅμως ἔνιοι μὲν δένδρα πειρῶνται θεραπεύειν τοῦ καρποῦ ἕνεκεν· τοῦ δὲ παμφορωτάτου κτήματος, ὃ καλεῖται φίλος, ἀργῶς καὶ ἀνειμένως οἱ πλεῖστοι ἐπιμέλονται.

ε'. Ἤκουσα δέ ποτε καὶ ἄλλον αὐτοῦ λόγον, ὃς ἐδόκει μοι προτρέπειν τὸν ἀκούοντα ἐξετάζειν ἑαυτὸν, ὁπόσου τοῖς φίλοις ἄξιος εἴη. ἰδὼν γάρ τινα τῶν ξυνόντων ἀμελοῦντα

erigit. Quaecunque vero vel manus cuique subministrant, vel prospiciunt oculi, vel aures ante percipiunt, vel perficiunt pedes; in eorum nullo amici benefici est inferior opera. Saepe quae quis a seipso non elaboravit, non vidit, non audivit, non perfecit, et amicus ad amicos suffecit. Arbores nonnulli multo cum labore student excolere, fructus causa; possessionem vero illam fertilissimam, quae amicus vocatur, segniter remisseque plurimi curant.

5. Audivi aliquando etiam aliud ejus colloquium, quod mihi videbatur auditorem excitare, ut seipsum explorat, quanti amicis pretii esse possit. Nam quum vidisset quendam ex familiaribus suis amicum, qui egestate premeretur, negli-

φίλου πενίᾳ πιεζομένου, ἤρετο Ἀντισθένη ἐναντίον τοῦ ἀμελοῦντος αὐτοῦ, καὶ ἄλλων πολλῶν· Ἆρα, ἔφη, ὦ Ἀντίσθενες, εἰσί τινες ἀξίαι φίλων, ὥσπερ οἰκετῶν; τῶν γὰρ οἰκετῶν ὁ μέν που δύο μνῶν ἄξιός ἐστιν, ὁ δ' οὐδ' ἡμιμναίου, ὁ δὲ πέντε μνῶν, ὁ δὲ καὶ δέκα· Νικίας δὲ ὁ Νικηράτου λέγεται ἐπιστάτην εἰς τἀργύρια πρίασθαι ταλάντου. σκοποῦμαι δὴ τοῦτο, ἔφη, εἰ ἄρα, ὥσπερ τῶν οἰκετῶν, οὕτω καὶ τῶν φίλων εἰσὶν ἀξίαι. Ναὶ μὰ Δί', ἔφη ὁ Ἀντισθένης· ἔγωγ' οὖν βουλοίμην ἂν τὸν μέν τινα φίλον μοι εἶναι μᾶλλον· ἢ δύο μνᾶς, τὸν δ' οὐδ' ἂν ἡμιμναίου προτιμησαίμην, τὸν δὲ καὶ πρὸ δέκα μνῶν ἑλοίμην, τὸν δὲ πάντων χρημάτων καὶ πόνων

---

gere; interrogabat Antisthenem in illius praesentia, qui amicum negligebat, aliorumque multorum: Suntne, inquit, amicorum quaedam, mi Antisthenes, perinde ac servorum, aestimationes? nam ex servis hic duabus minis aestimatur, ille vix mina dimidia, alius minis quinque, alius etiam decem. Quinetiam Nicias, Nicerati filius, emisse talento dicitur eum qui argenti fodinis praeesset. Itaque considero, an perinde ac servorum, sic et amicorum sint aestimationes. Sunt profecto, inquit Antisthenes: nam equidem velim hunc potius amicum mihi esse, quam duas habere minas; illum ne dimidiae quidem minae praeferrem: alium potius, quam decem minas, eligerem; alium vero omnibus pecuniis at-

Digitized by Google

πριαίμην ἂν φίλον μοι εἶναι. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἴ γε ταῦτα τοιαῦτά ἐστι, καλῶς ἂν ἔχοι ἐξετάζειν τινὰ ἑαυτὸν, πόσου ἄρα τυγχάνει τοῖς φίλοις ἄξιος ὤν, καὶ πειρᾶσθαι ὡς πλείστου ἄξιος εἶναι, ἵνα ἥττον αὐτὸν οἱ φίλοι προδιδῶσιν; ἐγὼ γάρ τοι, ἔφη, πολλάκις ἀκούω τοῦ μὲν, ὅτι προὔδωκεν αὐτὸν φίλος ἀνὴρ, τοῦ δὲ, ὅτι μνᾶν ἀνθ' ἑαυτοῦ μᾶλλον εἵλετο ἀνὴρ, ὃν ᾤετο φίλον εἶναι. Τὰ τοιαῦτα πάντα σκοπῶ, μὴ, ὥσπερ ὅταν τις οἰκέτην πονηρὸν πωλῇ, καὶ ἀποδῶται τοῦ ὑρόντος, οὕτω καὶ τὸν πονηρὸν φίλον, ὅταν ἐξῇ τὸ πλεῖον τῆς ἀξίας λαβεῖν, ἐπαγωγὸν ᾖ ἀποδίδοσθαι. τοὺς δὲ χρηστοὺς οὔτε οἰκέτας

---

que laboribus emerem, ut esset mihi amicus. Ergo, subjecit Socrates, siquidem haec ita se habent, bene esset, si unusquisque seipsum exploraret, quanti amicis aestimandus sit; atque operam daret, ut quam maximi sit pretii, quo minus amici eum deserant. Nam equidem saepe audio, inquit, dicentem alium, ab homine amico se esse desertum; alium, quod is, quem amicum esse arbitratus sit, vel unam sibi minam praeferret. Haec omnia considero, num quemadmodum ubi quis servum malum vendit, alterique addicit eo pretio, quod toti foro commune est: ita etiam amicum malum, quum *pro eo* liceat plus accipere quam valet, vendere expediat. At ne permagno quidem pretio servos bonos

Digitized by Google

πάνυ τι πωλουμένους ὁρῶ, οὕτω φίλους πρὸς δεδομένους.

5'. Ἐδόκει δέ μοι καὶ εἰς τὸ δοκιμάζειν φίλους, οἵους ἄξιον κτᾶσθαι, χρήσιμον εἶναι λέγειν. Εἰπέ μοι, ἔφη, ὦ Κριτόβουλε, εἰ δεοίμεθα φίλου ἀγαθοῦ, πῶς ἂν ἐπιχειρήσειεν σκοπεῖν; ἆρα πρῶτον μὲν ζητητέον, ὅστις ἐστὶ γαστρός τε, καὶ φιλοποσίας, καὶ λαγνείας, καὶ ὕπνου, καὶ ἀργίας; ὁ γὰρ ὑπὸ τούτων κρατούμενος, οὔτ' αὐτὸς ἑαυτῷ δύναιτ' ἂν, οὔτε φίλῳ τὰ δέοντα πράττειν. Μὰ Δί' οὐ δῆτα, ἔφη. Οὐκοῦν τοῦ μὲν ὑπὸ τούτων ἀρχομένου ἀφεκτέον δοκεῖ σοι εἶναι; Πάνυ μὲν οὖν, ἔφη. Τί γάρ; ἔφη, ὅστις δαπανηρὸς ὢν μὴ αὐτάρκης ἐστὶν, ἀλλ' ἀεὶ

---

vendi video, neque *bonos* amicos deseri.

6. Visus est etiam mihi ad explorandos amicos, quales parari debeant, suos ad animum sanum revocare, hujusmodi proferens: Dic mihi, mi Critobule, si amico nobis bono sit opus, quo pacto considerare rem conabimur? num primo quaerendus erit, qui imperet gulae, potus cupiditati, lasciviae, somno, ignaviae? nam qui ab his vincitur, is neque sibi ipsi, neque amico possit praestare, quae oportet. Non profecto, inquit. *Critobulus*. Ergo tibi videtur abstinendum ab eo, qui rebus hisce serviat? Omnino, inquit. Quid vero? ait: qui, sumptuosus quum sit, suis rebus non est contea-

Digitized by Google

τῶν πλησίον δεῖται, καὶ λαμβάνων μὲν, μὴ δύνηται ἀποδιδόναι, μὴ λαμβάνων δὲ, τὸν μὴ δεόμενα μισεῖ, οὐ δανεῖ σοι καὶ οὗτος χαλεπὸς φίλος εἶναι; Πάνυ, ἔφη. Οὐκοῦν ἀφεκτέον καὶ τούτου; Ἀφεκτέον μέντοι, ἔφη. Τί γάρ; ὅστις χρηματίζεσθαι μὲν δύνασται, πολλῶν δὲ χρημάτων ἐπιθυμεῖ, καὶ διὰ τοῦτο δυσχερὴς ἐστι, καὶ λαμβάνων μὲν ἥδεται, ἀποδιδόναι δὲ οὐ βούλεται; Ἐμοὶ μὲν δοκεῖ, ἔφη, οὗτος ἔτι πονηρότερος ἐκείνου εἶναι. Τί δέ; ὅστις δὴ τὸν ἔρωτα τοῦ χρηματίζεσθαι μηδὲν πρὸς ἓν ἄλλο σχολὴν ποιεῖται, ἢ ὁπόθεν αὐτὸς κερδανεῖ; Ἀφεκτέον καὶ τούτου, ὡς ἐμοὶ δοκεῖ· ἀνωφελὴς γὰρ ἂν εἴη τῷ χρωμένῳ. Τί δέ; ὅστις στασιώδης τε ἐστὶ, καὶ

tus, sed semper rebus vicinorum eget, easque impetrans reddere non potest, non impetrans vero, odio non dantem habet; non tibi videtur hic quoque difficilis amicus esse? Omnino, inquit. Igitur ab hoc etiam abstinendum? Abstinendum scilicet, inquit. Quid autem? si quis rem facere potest, multasque pecunias concupiscit, et propterea difficilem se in pactis praebet, et accipiendo delectatur, reddere vero non vult? Videtur is mihi, ait, etiam improbior esse illo altero. Quid autem? si quis obrei faciendae cupiditatem nulli alii rei vacet, quam unde lucrum possit capere? Ab hoc quoque, mea quidem sententia, est abstinendum: nam inutilis illi fuerit, qui eo utatur. Quid vero? si quis homo sit seditio-

Digitized by Google

θέλων πολλοὺς τοῖς φίλοις ἐχθροὺς παρέχειν; Φευκτέον, νὴ Δία, καὶ τοῦτον. Εἰ δέ τις τούτων μὲν τῶν κακῶν μηδὲν ἔχει, εὖ δὲ πάσχων ἀνέχεται, μηδὲν φροντίζων τοῦ ἀντευεργετεῖν; Ἀνωφελὴς ἂν εἴη καὶ οὗτος. ἀλλὰ ποῖον, ὦ Σώκρατες, ἐπιχειρήσομεν φίλον ποιεῖσθαι; Οἶμαι μέν, ὅς, τἀναντία τούτων, ἐγκρατὴς μέν ἐστι τῶν διὰ τοῦ σώματος ἡδονῶν, εὔορκος δὲ καὶ εὐξύμβολος ὧν τυγχάνει, καὶ φιλόνικος πρὸς τὸ μὴ ἐλλείπεσθαι εὖ ποιῶν τοὺς εὐεργετοῦντας ἑαυτόν, ὥστε λυσιτελεῖν τοῖς χρωμένοις.

Πῶς οὖν ἂν ταῦτα δοκιμάσαιμεν, ὦ Σώκρατες, πρὸ τοῦ χρῆσθαι; Τοὺς μὲν ἀνδριαντοποιούς, ἔφη, δοκιμάζομεν, οὐ τοῖς λόγοις

---

sus, ac multos amicis inimicos velit excitare? Fugiendus et ille profecto. At si quis horum quidem vitiorum expers sit, beneficiis autem se affici patiatur, nulla vicissim benefaciendi ratione habita? Inutilis et ille fuerit. Sed qualem, mi Socrates, enitemur amicum nobis adjungere? Eum arbitror, qui, diversa ab his ratione, corporeis voluptatibus dominetur, juramentum servet, in pactis facilem se exhibeat, denique conetur, ut suis benefactoribus, vicissim benefaciendo, non sit inferior; ita ut iis, qui eo utantur, usui sit.

At quo pacto haec explorare, mi Socrates, possimus priusquam eis utamur? Statuarios, inquit, sic exploramus,

Digitized by Google

αὐτῶν τεκμαιρόμενοι, ἀλλ' ὃν ἂν ὁρῶμεν τοὺς πρόσθεν ἀνδριάντας καλῶς εἰργασμένον, τούτῳ πιστεύομεν καὶ τοὺς λοιποὺς εὖ ποιήσειν. Καὶ ἄνδρα δὴ λέγεις, ἔφη, ὃς ἂν τοὺς φίλους τοὺς πρόσθεν εὖ ποιῶν φαίνηται, δῆλον εἶναι καὶ τοὺς ὑστέρους εὐεργετήσοντα. Καὶ γὰρ ἵπποις, ἔφη, ὃν ἂν τοῖς πρόσθεν ὁρῶ καλῶς χρώμενον, τοῦτον καὶ ἄλλοις οἶμαι καλῶς χρήσεσθαι. Εἶεν, ἔφη. ὃς δ' ἂν ἡμῖν ἄξιος φιλίας δοκῇ εἶναι, πῶς χρὴ φίλον τοῦτον ποιεῖσθαι; Πρῶτον μέν, ἔφη, τὰ παρὰ τῶν θεῶν ἐπισκεπτέον, εἰ συμβουλεύουσιν αὐτὸν φίλον ποιεῖσθαι. Τί οὖν; ἔφη, ὃν ἂν ἡμῖν δοκῇ, καὶ οἱ θεοὶ μὴ ἐναντιῶνται, ἔχεις εἰπεῖν, ὅπως οὗτος θηρατέος; Μὰ Δί', ἔφη, οὐ κατὰ

---

non ipsorum verbis pro signis indubitatis usi, sed quem prius statuas egregie fecisse cernimus, ei fidem habemus, quod etiam recte caeteras sit elaboraturus. Ergo tu, inquit, dicis hominem, qui se prioribus amicis beneficum declaraverit, plane posterioribus quoque benefacturum. Nimirum, ait, quemcunque prioribus equis recte usum video, eum arbitror etiam aliis bene usurum. Sint haec, ait. At quo pacto is efficiendus est amicus, qui amicitia nobis dignus esse videatur? Primum, ait, res divinae considerandae sunt, num Dii nobis consulant, ut eum amicum faciamus. Quid igitur? potesne dicere, quo pacto is, qui nobis adjungendus vi-

Digitized by Google

πόδας, ὥσπερ ὁ λαγώς· οὐδ' ἀπάτῃ, ὥσπερ αἱ ὄρνιθες· οὐδὲ βίᾳ, ὥσπερ οἱ κάπροι. ἄκοντα γὰρ φίλον ἑλεῖν ἐργῶδες, χαλεπὸν δὲ καὶ δήσαντα κατέχειν, ὥσπερ δοῦλον. ἧττον δὲ γὰρ μᾶλλον ἢ φίλοι γίγνονται ταῦτα πάσχοντες. Φίλοι δὲ πῶς; ἔφη. Εἶναι μέν τινας φασὶν ἐπῳδάς, ἃς οἱ ἐπιστάμενοι ἐπᾴδοντες, οἷς ἂν βούλωνται, φίλους ἑαυτοῖς ποιοῦνται· εἶναι δὲ καὶ φίλτρα, οἷς οἱ ἐπιστάμενοι πρὸς οὓς ἂν βούλωνται χρώμενοι φιλοῦνται ὑπ' αὐτῶν.

Πόθεν οὖν, ἔφη, ταῦτα μανθάνειν ἔστι; Τὰ μὲν αἱ Σειρῆνες ἐπῇδον τῷ Ὀδυσσεῖ, ἤκουσας Ὁμήρου, ὧν ἐστιν ἀρχὴ τοιάδε τις·

---

deatur, etiam Diis haud adversantibus, venandus sit? Profecto, ait, non velocitate pedum, sicut lepus; neque fraude, sicut aves; neque vi, sicut apri. Nam invitum amicum capere, perquam est difficile; neque minus difficile, vinctum retinere tanquam servum: potius enim hostes, quam amici fiunt, si haec illis accidant. At quo pacto amici? Esse quasdam aiunt incantationes, quas qui sciunt, incantando iis, quoscunque voluerint, amicos sibi ipsis efficiunt: atque esse etiam quaedam ad animorem veneficia, quibus cum utantur ii qui sciunt adversus quoscunque voluerint, ab iis diligantur.

Unde igitur haec percipimus? ait. Ex Homero audiri, quibus verbis Ulyssem Sirenes incantarint; quorum est hujusmodi quoddam principium;

Δεῦρ' ἄγε δὴ, πολύαιν' Ὀδυσεῦ, μέγα κῦδος Ἀχαιῶν.

Ταύτην οὖν, ἔφη, τὴν ἐπῳδὴν, ὦ Σώκρατες, καὶ τοῖς ἄλλοις ἀνθρώποις αἱ Σειρῆνες ἐπᾴδουσαι κατεῖχον, ὥστε μὴ ἀπιέναι ἀπ' αὐτῶν τοὺς ἐπαϊόντας; Οὐκ· ἀλλὰ τοῖς ἐπ' ἀρετῇ φιλοτιμουμένοις οὕτως ἐπῇδον. Ἔχεδόν τι λέγεις καὶ οὗτα χρῆναι ἑκάστῳ ἐπᾴδειν, οἷα μὴ νομιεῖ ἀκούων τὸν ἐπαινοῦντα καταγελᾶσθαι λέγειν. οὕτω μὲν γὰρ ἐχθίων τ' ἂν εἴη, καὶ ἀπελαύνοι τοὺς ἀνθρώπους ἀφ' ἑαυτοῦ, εἰ τὸν εἰδότα, ὅτι μικρός τε καὶ αἰσχρὸς καὶ ἀσθενής ἐστιν, ἐπαινοίη, λέγων ὅτι καλός τε καὶ μέγας καὶ ἰσχυρός ἐστιν. Ἄλλας δέ τινας οἶσθα ἐπῳδάς; Οὐκ· ἀλλ' ἤκουσα μέν, ὅτι Περικλῆς πολλὰς ἐπίσταιτο, ἃς ἐπᾴ-

Age veni, Ulysses, magnis laudibus digne, magnum decus Graecorum.

Hanc igitur incantationem, mi Socrates, quum ad alios etiam homines adhibebant Sirenes, num detinebant eos, ne excantatis ab eis discederent? Nequaquam; sed his incantationibus ad illos utebantur, qui ob virtutem gloriae cupidi erant. Propemodum dicis, ejusmodi verbis unumquemque incantandum esse, quae si audiat, a laudante non irridendi causa proferri existimet. Nam *laudans* ita quidem esset odiosior, hominesque abs se repelleret; si quem, scientem se parvum ac turpem et imbecillum esse, laudaret ut pulchrum, ut magnum, ut robustum. Num et alias quasdam scis incantationes? Non; sed audivi Peri-

δων τῇ πόλει, ἐποίει αὐτὴν φιλεῖν αὐτόν. Θεμιστοκλῆς δὲ πῶς ἐποίησε τὴν πόλιν φιλεῖν αὐτόν; Μὰ Δί' οὐκ ἐπᾴδων, ἀλλὰ περιάψας τι ἀγαθὸν αὐτῇ. Δοκεῖς μοι λέγειν, ὦ Σώκρατες, ὡς εἰ μέλλοιμεν ἀγαθόν τινα κτήσεσθαι φίλον, αὐτοὺς ἡμᾶς ἀγαθοὺς δεῖ γενέσθαι λέγειν τε καὶ πράττειν. Σὺ δ' ᾤου, ἔφη ὁ Σωκράτης, οἷόν τ' εἶναι πονηρὸν ὄντα χρηστοὺς φίλους κτήσασθαι; Ἐώρων γὰρ, ἔφη ὁ Κριτόβουλος, ῥήτοράς τε φαύλους ἀγαθοῖς δημηγόροις φίλους ὄντας, καὶ στρατηγεῖν οὐχ ἱκανοὺς πάνυ στρατηγικοῖς ἀνδράσιν ἑταίρους. Ἆρ' οὖν, ἔφη, καὶ περὶ οὗ διαλεγόμεθα, οἴσθά τινας, οἳ ἀνωφελεῖς ὄντες, ὠφελί-

---

clem multas scivisse, quibus hanc civitatem incantando effecerit, ut ipsum diligeret. At quo pacto Themistocles ad amorem sui civitatem hanc pellexit? non incantando mehercule, sed bono quodam eam afficiendo. Videris mihi dicere, mi Socrates, si quidem bonum amicum paraturi simus, nos ipsos oportere tam in dicendo quam in agendo bonos effici. An tu existimabas, ait Socrates, fieri posse, ut pravus quispiam bonos amicos pararet? Videbam enim, subjecit Critobulus, etiam oratores viles bonis concionatoribus amicos esse, et non satis ad imperatorium munus idoneos viris ejusdem muneris peritissimis esse familiares. Num igitur, inquit, etiam de quo disserimus, nosti quosdam, qui quum inu-

Digitized by Google

μους δύνανται φίλους ποιεῖσθαι; Μὰ Δί' οὐ δῆτ', ἔφη. ἀλλ' εἰ ἀδύνατόν ἐστι, πονηρὸν ὄντα καλοὺς κἀγαθοὺς φίλους κτήσασθαι, ἐκεῖνο ἤδη λέγε μοι, εἰ ἔστιν, αὐτὸν καλὸν κἀγαθὸν γενόμενον, ἑξ ἑτοίμου τοῖς καλοῖς κἀγαθοῖς φίλον εἶναι.

Ἦ ταράττει σε, ὦ Κριτόβουλε, ὅτι πολλάκις ἄνδρας καὶ καλὰ πράττοντας, καὶ τῶν αἰσχρῶν ἀπεχομένους, ὁρᾷς, ἀντὶ τοῦ φίλους εἶναι, στασιάζοντας ἀλλήλοις, καὶ χαλεπώτερον χρωμένους τῶν μηδενὸς ἀξίων ἀνθρώπων; Καὶ οὐ μόνον γ', ἔφη ὁ Κριτόβουλος, οἱ ἰδιῶται τοῦτο ποιοῦσιν, ἀλλὰ καὶ πόλεις αἱ τῶν τε καλῶν μάλιστα ἐπιμελούμεναι, καὶ τὰ αἰσχρὰ ἥκιστα προσιέμεναι, πολλάκις

---

tiles ipsi sint, viros utiles sibi efficere amicos possint? Minime vero, inquit. At si fieri non potest, ut vir improbus pulchri bonique studiosos amicos sibi comparet, hoc mihi dicas, an facile sit, eum, qui vir ipse pulchri bonique studiosus factus sit, pulchri bonique studiosis amicum fieri?

Num te, mi Critobule, perturbat, quod saepe vides homines res etiam pulchras gerentes, et abstinentes a turpibus, non amicos esse, sed inter se dissidere, et indignius sese tractare, quam homines nullius pretii? At non modo, inquit Critobulus, privati homines hoc faciunt; sed etiam illae civitates, quae pulchrorum maxime sudiosae sunt, turpiaque minime admittunt, saepe hostiliter erga se invicem sunt

Digitized by Google

πολεμικῶς ἔχουσι πρὸς ἀλλήλας. ἃ λογιζόμενος, πάνυ ἀθύμως ἔχω πρὸς τὴν τῶν φίλων κτῆσιν. Οὔτε γὰρ τοὺς πονηροὺς ὁρῶ φίλους ἀλλήλοις δυναμένους εἶναι. πῶς γὰρ ἂν ἢ ἀχάριστοι, ἢ ἀμελεῖς, ἢ πλεονέκται, ἢ ἄπιστοι, ἢ ἀκρατεῖς ἄνθρωποι δύναιντο φίλοι γενέσθαι; οἱ μὲν οὖν πονηροὶ πάντως ἔμοιγε δοκοῦσιν ἀλλήλοις ἐχθροὶ μᾶλλον ἢ φίλοι πεφυκέναι. Ἀλλὰ μήν, ὥσπερ σὺ λέγεις, οὐδ' ἂν τοῖς χρηστοῖς οἱ πονηροί ποτε συναρμόσειαν εἰς φιλίαν. πῶς γὰρ οἱ τὰ πονηρὰ ποιοῦντες τοῖς τὰ τοιαῦτα μισοῦσι φίλοι γένοιντ' ἄν; εἰ δὲ δὴ καὶ οἱ ἀρετὴν ἀσκοῦντες στασιάζουσί τε περὶ τοῦ πρωτεύειν ἐν ταῖς πόλεσι, καὶ φθονοῦντες ἑαυτοῖς μισοῦσιν ἀλ-

affectae: quae mecum reputans, vehementer de acquirendis amicis despero. Nec enim improbos inter se amicos esse posse video. Nam quo pacto vel inter ingratos, vel pulchri non studiosos, vel plus habendi cupidos, vel infidos, vel intemperantes, amicitia conciliari possit? adeo ut improbos omnes potius a natura inter se inimicos esse, quam amicos, existimem. At vero, uti tu quidem ais, ne bonis quidem in amicitia pravi congruere possunt. Nam quo pacto illi, qui improbe agunt, amici possint esse iis qui talia oderunt? Quod si etiam illi, qui virtutem colunt, inter se per seditiones in civitatibus de principatu contendunt, et prae invi-

Digitized by Google

λήλους, τίνες ἔτι φίλοι ἔσονται, καὶ ἐν τίσιν ἀνθρώποις εὔνοια καὶ πίστις ἔσται;

Ἀλλ' ἔχει μὲν, ἔφη ὁ Σωκράτης, ποικίλως πως ταῦτα, ὦ Κριτόβουλε· φύσει γὰρ ἔχουσιν οἱ ἄνθρωποι τὰ μὲν φιλικὰ, (δέονταί τε γὰρ ἀλλήλων, καὶ ἐλεοῦσι, καὶ συνεργοῦντες ὠφελοῦσι, καὶ τοῦτο συνιέντες χάριν ἔχουσιν ἀλλήλοις) τὰ δὲ πολεμικά· τά τε γὰρ αὐτὰ καλὰ καὶ ἡδέα νομίζοντές, ὑπὲρ τούτων μάχονται, καὶ διχογνωμονοῦντες ἐναντιοῦνται· πολεμικὸν δὲ καὶ ἔρις καὶ ὀργὴ, καὶ δυσμενὲς μὲν ὁ τοῦ πλεονεκτεῖν ἔρως, μισητὸν δὲ ὁ φθόνος. Ἀλλ' ὅμως διὰ τούτων πάντων ἡ φιλία διαδυομένη συνάπτει τοὺς καλούς τε καὶ ἀγαθούς. διὰ γὰρ τὴν ἀρετὴν αἱροῦνται μὲν

---

dia alii alios invicem oderunt; quinam deinceps inter se amici erunt, et quos inter homines benevolentia fidesque reperiatur?

Enimvero, ait Socrates, haec varie se habent, mi Critobule. Nam homines a natura partim ad amicitiam comparati sunt; (etenim alii aliis indigent, ac invicem miserentur, et cooperantes invicem prosunt, idque quum intellexere, gratiam sibi invicem habent) partim ad inimicitias propendent. Nam quum eadem bona et jucunda putent, de iis dimicant, et dissentientes contrariantur. Contentio autem et ira, res quaedam hostiles sunt; itemque plus habendi cupiditas, infestum quiddam est; et odio dig-

ἄνευ πόνου τὰ μέτρια κεκτῆσθαι μᾶλλον, ἢ διὰ πολέμου πάντων κυριεύειν· καὶ δύνανται πεινῶντες καὶ διψῶντες ἀλύπως σίτου καὶ ποτοῦ κοινωνεῖν, καὶ τοῖς τῶν ὡραίων ἀφροδισίοις ἡδόμενοι καρτερεῖν, ὥστε μὴ λυπεῖν, οὓς μὴ προσήκει. Δύνανται δὲ καὶ χρήματων οὐ μόνον, τοῦ πλεονεκτεῖν ἀπεχόμενοι, νομίμων κοινωνεῖν, ἀλλὰ καὶ ἐπαρκεῖν ἀλλήλοις· δύνανται δὲ καὶ τὴν ἔριν οὐ μόνον ἀλύπως, ἀλλὰ καὶ συμφερόντως ἀλλήλοις διατίθεσθαι, καὶ τὴν ὀργὴν κωλύειν εἰς τὸ μεταμελησόμενον προϊέναι· τὸν δὲ φθόνον παντάπασιν ἀφαιροῦσι, τὰ μὲν ἑαυτῶν ἀγαθὰ τοῖς φίλοις οἰκεῖα παρέχοντες, τὰ δὲ τῶν φίλων, ἑαυτῶν νομίζοντες. Πῶς οὖν οὐκ εἰκὸς τοὺς

---

num, invidia. Nihilominus amicitia per haec omnia penetrans, pulchri bonique studiosos copulat. Nam propter virtutem malunt absque labore facultates mediocres possidere, quam bello in omnia dominari; et possunt esurientes ac sitientes sine dolore cibi ac potus participes fieri, et formosorum amoribus delectati ita se coërcere, ut non offendant eos, quos non convenit. Possunt etiam, plus habendi non cupidi, non modo participare in illis pecuniis, quae licitae sunt; sed etiam sibi invicem largiri. Possunt et simultatem non modo sine molestia, sed etiam ex utilitate mutua moderari; ac prohibere, quo minus ad hoc ira progrediatur, cujus ipsos deinde poeniteat. Invidiam prorsus tollunt, partim bo-

Digitized by Google

καλούς τε κἀγαθοὺς καὶ τῶν πολιτικῶν τιμῶν μὴ μόνον ἀβλαβεῖς, ἀλλὰ καὶ ὠφελίμους ἀλλήλοις κοινωνοὺς εἶναι; οἱ μὲν γὰρ ἐπιθυμοῦντες ἐν ταῖς πόλεσι τιμᾶσθαί τε καὶ ἄρχειν, ἵνα ἐξουσίαν ἔχωσι χρήματά τε κλέπτειν, καὶ ἀνθρώπους βιάζεσθαι, καὶ ἡδυπαθεῖν, ἄδικοί τε καὶ πονηροὶ ἂν εἶεν, καὶ ἀδύνατοι ἄλλῳ συναρμόσαι. Εἰ δέ τις ἐν πόλει τιμᾶσθαι βουλόμενος, ὅπως αὐτός τε μὴ ἀδικῆται, καὶ τοῖς φίλοις τὰ δίκαια βοηθεῖν δύνηται, καὶ ἄρξας ἀγαθόν τι ποιεῖν τὴν πατρίδα πειρᾶται, διὰ τί ὁ τοιοῦτος ἄλλῳ τοιούτῳ οὐκ ἂν δύναιτο συναρμόσαι; πότερον τοὺς φίλους ὠφελεῖν μετὰ τῶν καλῶν κἀγα-

---

na propria amicis mancipando, partim amicorum bona pro suis ducendo. Qui ergo non consentaneum sit, viros pulchri bonique studiosos non solum sine damno, sed etiam mutua cum utilitate honorum civilium participes fieri? nam qui honores in civitatibus ac magistratus ambiunt, idcirco ut potestatem habeant pecuniam publicam peculandi, vi homines opprimendi, fruendi voluptatibus; illi injusti sint ac improbi necesse est; neque fieri potest, ut cum alio conjunguntur. At si quis velit honoribus in republica frui, ut tum ipse non afficiatur injuria, tum justis in rebus opem amicis ferre possit; simulque imperans aliquo bono patriam afficere conetur; quamobrem talis homo cum alio tali conjungi non possit?

Digitized by Google

θῶν ἧττον δυνήσεται, ἢ τὴν πόλιν εὐεργετεῖν ἀδυνατώτερος ἔσται, καλούς τε κἀγαθοὺς ἔχων συνεργούς;

Ἀλλὰ καὶ ἐν τοῖς γυμνικοῖς ἀγῶσι δῆλόν ἐστιν, ὅτι, εἰ ἐξῆν τοῖς κρατίστοις συνθεμένους ἐπὶ τοὺς χείρους ἰέναι, πάντας ἂν τοὺς ἀγῶνας οὗτοι ἐνίκων, καὶ πάντα τὰ ἆθλα οὗτοι ἐλάμβανον. ἐπεὶ οὖν ἐκεῖ μὲν οὐκ ἐῶσι τοῦτο ποιεῖν, ἐν δὲ τοῖς πολιτικοῖς, ἐν οἷς οἱ καλοὶ κἀγαθοὶ κρατιστεύουσιν, οὐδεὶς κωλύει, μεθ' οὗ ἄν τις βούληται, τὴν πόλιν εὐεργετεῖν, πῶς οὐ λυσιτελεῖ τοὺς βελτίστους φίλους κτησάμενον πολιτεύεσθαι, τούτοις κοινωνοῖς καὶ συνεργοῖς τῶν πράξεων μᾶλλον ἢ ἀνταγωνισταῖς χρώμενον; Ἀλλὰ μὴν κἀκεῖνο

---

num amicis esse usui una cum pulchri bonique studiosis minus poterit, vel ad bene reipublicae faciendum minus valebit, si pulchri bonique studiosos coadjutores habeat?

Quinetiam gymnicis in certaminibus patet, si liceat praestantissimis una conjunctis petores aggredi, futurum, ut ipsi cunctis in certaminibus victores evadant, omniaque praemia consequantur. Quando igitur hoc istic fieri non permittitur; at in negotiis civilibus, ubi homines pulchri bonique studiosi praecipuas partes obtinent, quum nemo impediat, quo minus quis beneficio rempublicam, cum quo ipse velit, afficiat: qui non ex usu sit, ut, optimis amicis comparatis, rem-

Digitized by Google

δῆλον, ὅτι, κἂν πολεμῇ τις τινὶ, συμμάχων δέήσεται, καὶ τούτων πλειόνων, ἐὰν καλοῖς κἀγαθοῖς ἀντιτάττηται. καὶ μὴν οἱ συμμαχεῖν ἐθέλοντες εὖ ποιητέοι, ἵνα θέλωσι προθυμεῖσθαι. πολὺ δὲ κρεῖττον τοὺς βελτίστους ἐλάττονας εὖ ποιεῖν, ἢ τοὺς χείρονας πλείονας ὄντας· οἱ γὰρ πονηροὶ πολὺ πλειόνων εὐεργεσιῶν ἢ οἱ χρηστοὶ δέονται. Ἀλλὰ θαῤῥῶν, ἔφη, ὦ Κριτόβουλε, πειρῶ ἀγαθὸς γίγνεσθαι, καὶ τοιοῦτος γιγνόμενος, θηρᾶν ἐπιχείρει τοὺς καλούς τε κἀγαθούς. ἴσως δ' ἄν τι σοὶ κἀγὼ συλλαβεῖν εἰς τὴν τῶν καλῶν τε κἀγαθῶν θήραν ἔχοιμι, διὰ τὸ ἐρωτικὸς εἶναι. δεινῶς γὰρ, ὧν ἂν ἐπιθυμήσω ἀνθρώπων, ὅλος ὥρμημαι ἐπὶ τὸ φιλῶν τε αὐτοὺς ἀντιφιλεῖσ-

publicam aliquis administret, atque iis potius sociis et coadjutoribus gerendarum rerum, quam adversariis utatur? Enimvero patet hoc etiam, si bellum aliquis adversus alium gerere velit, ei sociis opus esse, illisque pluribus, si pulchri bonique studiosis se opponat. At beneficiis afficiendi sunt, qui opitulari volunt, u sint animis alacres. Multo autem melius est, optimis, tametsi pauciores sint, benefacere, quam deterioribus, qui plures sint. Nam improbi multo pluribus beneficiis, quam probi, egent. Tu vero, mi Critobule, fidenti animo bonus esse enitere, atque ubi talis factus fueris, pulchri bonique studiosos venari coneris. Ac fortassis etiam ipse nonnihil tibi conferre ad hanc virorum pul-

Digitized by Google

θαι ὑπ' αὐτῶν, καὶ ποθῶν ἀντιποθεῖσθαι, καὶ ἐπιθυμῶν ξυνεῖναι καὶ ἀντεπιθυμεῖσθαι τῆς ξυνουσίας. Ὁρῶ δὲ καὶ σοὶ τούτων δεῆσον, ὅταν ἐπιθυμήσῃς φιλίαν πρός τινας ποιεῖσθαι. μὴ σὺ οὖν ἀποκρύπτου με, οἷς ἂν βούλοιο φίλος γενέσθαι· διὰ γὰρ τὸ ἐπιμελεῖσθαι τοῦ ἀρέσαι τῷ ἀρέσκοντί μοι, οὐκ ἀπείρως οἶμαι ἔχειν θηρᾶν ἀνθρώπους.

Καὶ ὁ Κριτόβουλος ἔφη, Καὶ μήν, ὦ Σώκρατες, τούτων ἐγὼ τῶν μαθημάτων πάλαι ἐπιθυμῶ, ἄλλως τε καὶ εἰ ἐξαρκέσει μοι ἡ αὐτὴ ἐπιστήμη ἐπὶ τοὺς ἀγαθοὺς τὰς ψυχὰς καὶ ἐπὶ τοὺς καλοὺς τὰ σώματα. Καὶ ὁ Σωκράτης ἔφη, Ἀλλ' ὦ Κριτόβουλε, οὐκ ἔνεστιν ἐν τῇ ἐμῇ ἐπιστήμῃ τὸ τὰς χεῖρας

---

chri bonique studiosorum venationem possim, propterea quod ad amorem propensus sum. Nam quoscunque homines amem, totus ardenter in hoc feror, ut eos diligens, vicissim diligar; et desiderans, vicissim desiderer; et conversationis cupidus, vicissim expetar. Quibus et tibi opus fore video, si quando cum quibusdam amicitiam inire cupies. Itaque ne me celes, quibus esse amicus velis. Nam quum placere studeam illi, qui mihi placet, minime venandi homines imperitum me esse arbitror.

Atqui, ait Critobulus, harum artium ego, mi Socrates jamdudum cupidus sum; praesertim si eadem mihi scientia suffecerit ad eos, qui animae bonitate praestant, et qui corporis elegantia. At vero, mi

Digitized by Google

προσφέροντα ποιεῖν ὑπομένειν τοὺς καλούς. πέπεισμαι δὲ καὶ ἀπὸ τῆς Σκύλλης διὰ τοῦτο φεύγειν τοὺς ἀνθρώπους, ὅτι τὰς χεῖρας αὐτοῖς προσέφερε· τὰς δέ γε Σειρῆνας, ὅτι τὰς χεῖρας οὐδενὶ προσέφερον, ἀλλὰ πᾶσι πόρρωθεν ἐπῆδον, πάντας φασὶν ὑπομένειν, καὶ ἀκούοντας αὐτῶν κηλεῖσθαι. Καὶ ὁ Κριτόβουλος ἔφη, Ὡς οὐ προσοίσοντος τὰς χεῖρας, εἴ τι ἔχεις ἀγαθὸν εἰς φίλων κτῆσιν, δίδασκε. Οὐδὲ τὸ στόμα οὖν, ἔφη ὁ Σωκράτης, πρὸς τὸ στόμα προσθήσεις; Θάρρει, ἔφη ὁ Κριτόβουλος· οὐδὲ γὰρ τὸ στόμα πρὸς τὸ στόμα προσοίσω οὐδενὶ, ἐὰν μὴ καλὸς ᾖ. Εὐθὺς, ἔφη, σύ γε, ὦ Κριτόβουλε, τοὐναντίον τοῦ συμφέροντος εἴρηκας. οἱ μὲν γὰρ καλοὶ τὰ

Critobule, inquit Socrates, non hoc scientia mea continetur, ut manus injiciens, forma praestantes aliquis remoretur. Audivi enim, homines ea de causa Scyllam fugisse, quod manus eis admoveret: Sirenes vero, quia nemini manus injicerent, sed longo ex intervallo cunctos incantarent, cunctos aiunt remoratas esse, qui quidem audiendo demulcerentur. Et Critobulus, Doce vero me, inquit, si quid habes, quod ad conciliandos amicos conferat; non enim cuiquam manus injiciam. At ne os quidem, ait Socrates, ori admovebis. Bono sis animo, inquit Critobulus. Nec enim os ulli admovebo, nisi forma praestet. Tu vero iterum, ait, mi Critobule,

Digitized by Google

τοιαῦτα οὐχ ὑπομένουσιν· οἱ δὲ αἰσχροὶ καὶ ἠδέως προσίενται, νομίζοντες διὰ τὴν ψυχὴν καλοὶ καλεῖσθαι. Καὶ ὁ Κριτόβουλος ἔφη, Ὡς τοὺς μὲν καλοὺς φιλήσοντός μου, τοὺς δ' ἀγαθοὺς καταφιλήσοντος, θαῤῥῶν δίδασκε τῶν φίλων τὰ θηρατικά. Καὶ ὁ Σωκράτης ἔφη, Ὅταν οὖν, ὦ Κριτόβουλε, φίλος τινὶ βούλῃ γενέσθαι, ἐάσεις με κατειπεῖν σου πρὸς αὐτὸν, ὅτι ἄγασά τε αὐτοῦ, καὶ ἐπιθυμεῖς φίλος αὐτοῦ εἶναι; Κατηγόρει, ἔφη ὁ Κριτόβουλος· οὐδένα γὰρ οἶδα μισοῦντα τοὺς ἐπαινοῦντας. Ἐὰν δέ σου προσκατηγορήσω, ἔφη, ὅτι διὰ τὸ ἄγασθαι αὐτοῦ καὶ εὐνοϊκῶς ἔχεις πρὸς αὐτὸν, ἆρα μὴ διαβάλλεσθαι δόξεις ὑπ' ἐμοῦ; Ἀλλὰ καὶ αὐτῷ μοι, ἔφη, ἐγγίγνε-

---

contrarium ei, quod utile sit, dixisti. Nam qui pulchri sunt, talia non sufferunt: at qui deformes, lubenter admittunt, existimantes, propter animam se pulchros appellari. Et Critobulus, Age, animo alacri me doceto, inquit, artem venandi amicos; quandoquidem pulchros osculaturus, honestos exosculaturus sum. Et Socrates, Ubi, mi Critobule, amicitiam cum aliquo, inquit, contrahere velis, an mihi permittes, ut ad ipsum deferam, te admiratorem ipsius esse, atque amicitiam ejus expetere? Defer, ait Critobulus; quippe neminem novi, qui se laudantes oderit. At si praeterea deferam, ait, quod prae admiratione ipsius etiam benevolus erga ipsum

Digitized by Google

ται εὔνοια, πρὸς οὓς ἂν ὑπολάβω εὐνοϊκῶς ἔχειν πρὸς ἐμέ.

Ταῦτα μὲν δὴ, ἔφη ὁ Σωκράτης, ἐξέσται μοι λέγειν περὶ σοῦ, πρὸς οὓς ἂν βούλῃ φίλους ποιήσασθαι. ἐὰν δέ μοι ἔτι ἐξουσίαν δῷς λέγειν περὶ σοῦ, ὅτι ἐπιμελής τε τῶν φίλων εἶ, καὶ οὐδενὶ οὕτω χαίρεις ὡς φίλοις ἀγαθοῖς, καὶ ἐπί τε τοῖς καλοῖς ἔργοις τῶν φίλων ἀγάλλῃ οὐχ ἧττον ἢ ἐπὶ τοῖς ἑαυτοῦ, καὶ ἐπὶ τοῖς ἀγαθοῖς τῶν φίλων χαίρεις οὐδὲν ἧττον ἢ ἐπὶ τοῖς ἑαυτοῦ, ὅπως τε ταῦτα γίγνηται τοῖς φίλοις, οὐκ ἀποκάμνεις μηχανώμενος, καὶ ὅτι ἴσμεν, ἀνδρὸς ἀρετὴν εἶναι, νικᾷν τοὺς μὲν φίλους εὖ ποιοῦντα, τοὺς δὲ ἐχθροὺς κακῶς· πάνυ ἂν οἶμαί σοι ἐπιτήδειον

---

sis, num te putabis a me accusari? Atqui in meipso, inquit, benevolentia quaedam erga illos innascitur, quos animis in me benevolis esse suspicor.

Haec igitur, ait Socrates, mihi de te dicere licebit ad eos, quos amicos efficere velis. Quod si mihi praeterea potestatem facias dicendi de te, quod amici tibi curae sint, et quod nulla re sic delecteris, atque bonis amicis; quod ob amicorum praeclara facinora non minus exultes, quam ob tua; quod ob amicorum commoda non minus gaudeas, quam ob tua; quod conando, ut amici ea consequantur, non defatigeris; quodque nosti hominis virtutem esse, beneficiis amicos, inimicos vero maleficiis

Digitized by Google

εἶναί με σύνθηρον τῶν ἀγαθῶν φίλων. Τί οὖν, ἔφη ὁ Κριτόβουλος, ἐμοὶ τοῦτο λέγεις, ὥσπερ οὐκ ἐπὶ σοὶ ὄν, ὅ, τι ἂν βούλῃ, περὶ ἐμοῦ λέγειν; Μὰ Δί' οὐχ, ὥς ποτε ἐγὼ Ἀσπασίας ἤκουσα. ἔφη γὰρ τὰς ἀγαθὰς προμνηστρίδας, μετὰ μὲν ἀληθείας τἀγαθὰ διαγγελλούσας, δεινὰς εἶναι συνάγειν ἀνθρώπους εἰς κηδείαν, ψευδομένας δ' οὐκ ὠφελεῖν ἐπαινούσας. τοὺς γὰρ ἐξαπατηθέντας ἅμα μισεῖν ἀλλήλους τε καὶ τὴν προμνησαμένην. ἃ δὴ καὶ ἐγὼ πεισθεὶς ὀρθῶς ἔχειν, ἡγοῦμαι οὐκ ἐξεῖναί μοι περὶ σοῦ λέγειν ἐπαινοῦντι οὐδὲν, ὅ, τι ἂν μὴ ἀληθεύω. Σὺ μὲν ἄρα, ἔφη ὁ Κριτόβουλος, τοιοῦτός μοι φίλος εἶ, ὦ Σώκρατες, οἷος, ἂν μέν τι αὐτὸς ἔχῳ ἐπιτή-

---

vincere: pro certo arbitror aptum me tibi convenatorem bonorum amicorum fore. Quamobrem, ait Critobulus, hoc mihi commemoras, quasi non penes te sit, ut de me, quod velis, dicas? Non profecto, uti quidem ego de Aspasia aliquando audivi. Aiebat enim bonas pronubas, quae cum veritate bona commemorent, plurimum ad conciliandam inter homines affinitatem valere; quae vero mentirentur, eas laudando nihil proficere. Qui enim decepti sunt, se oderunt mutuo, atque etiam conciliatricem ipsam. Quae quum ita esse persuasus sim, recte arbitror nihil mihi dicere licere in laudem tuam, quod non vere dicam. Nimirum tu, mi Socrates, ait Critobulus, talis amicus es mihi, ut me ais

δεῖον εἰς τὸ φίλους κτήσασθαι, συλλαμβάνειν μοι· εἰ δὲ μή, οὐκ ἂν ἐθέλοις πλάσας τι εἰπεῖν ἐπὶ τῇ ἐμῇ ὠφελείᾳ. Πότερα δ' ἄν, ἔφη ὁ Σωκράτης, ὦ Κριτόβουλε, δοκῶ σοι μᾶλλον ὠφελεῖν σε, τὰ ψευδῆ ἐπαινῶν, ἢ πείθων πειρᾶσθαί σε ἀγαθὸν ἄνδρα γενέσθαι; εἰ δὲ μὴ φανερὸν οὕτω σοι, ἐκ τῶνδε σκέψαι· Εἰ γάρ σε, βουλόμενος φίλον τοιῆσαι ναυκλήρῳ, ψευδόμενος ἐπαινοίην, φάσκων ἀγαθὸν εἶναι κυβερνήτην, ὁ δέ μοι πεισθεὶς ἐπιτρέψειέ σοι τὴν ναῦν μὴ ἐπισταμένῳ κυβερνᾶν, ἔχεις τινὰ ἐλπίδα, μὴ ἂν σαυτόν τε καὶ τὴν ναῦν ἀπολέσαι; ἢ εἴ σοι πείσαιμι κοινῇ τὴν πόλιν, ψευδόμενος, ὡς ἂν στρατηγικῷ τε καὶ δικαστικῷ καὶ πολιτικῷ ἑαυτὴν ἐπιτρέψαι,

adjuturus, si ad parandos amicos aliquo modo aptus fuero; sin minus, nihil utilitatis meae causa ficti sis dicturus. Utrum autem, inquit Socrates, magis tibi prodesse videor, si falsis te ornem laudibus; an si persuadeam, ut vir bonus esse studeas? Quod si hoc necdum perspicis, ex his considera. Nam si tibi cum naviculatore volens amicitiam conciliare, falso te laudem, bonumque gubernatorem esse dicam; atque ille persuasus a me, navem imperito tibi gubernandam committat: aliudne quidquam sperare possis, quam te tum navem tum teipsum exitio daturum? Vel si tua causa civitati publice persuasero mentiens, ut se tibi, tanquam viro artis imperatoriae, judiciorum, rerumque civilium perito commit-

Digitized by Google

τί ἂν οἴει σαυτὸν καὶ τὴν πόλιν ὑπὸ σοῦ παθεῖν; ἢ εἴ τινας ἰδίᾳ τῶν πολιτῶν πείσαιμι, ψευδόμενος, ὡς ὄντι οἰκονομικῷ τε καὶ ἐπιμελεῖ, τὰ ἑαυτῶν ἐπιτρέψαι, ἆρ' οὐκ ἂν, πείρᾳ διδούς, ἅμα τε βλαβερὸς εἴης, καὶ καταγέλαστος φαίνοιο; Ἀλλὰ συντομωτάτη τε, καὶ ἀσφαλεστάτη, καὶ καλλίστη ὁδὸς, ὦ Κριτόβουλε, ὅ, τι ἂν βούλῃ δοκεῖν ἀγαθὸς εἶναι, τοῦτο καὶ γενέσθαι ἀγαθὸν πειρᾶσθαι. ὅσαι δ' ἐν ἀνθρώποις ἀρεταὶ λέγονται, σκοπούμενος εὑρήσεις πάσας μαθήσει τε καὶ μελέτῃ αὐξανομένας. ἐγὼ μὲν οὖν, ὦ Κριτόβουλε, οὕτως οἶμαι δεῖν ἡμᾶς· εἰ δὲ σύ πως ἄλλως γιγνώσκεις, δίδασκε. Καὶ ὁ Κριτόβουλος, Ἀλλ' αἰσχυ-

---

tat: quid putas et tibi et per te civitati eventurum? Vel si privatim civibus nonnullis persuadeam, idque mentiendo, ut tibi res suas credant, tanquam administrandae rei familiaris perito, atque industrio: annon, periculo facto, damnosus simulque ridiculus esse apparebis? At vero via maxime compendiaria, tutissima, et pulcherrima est, mi Critobule, ut, in quocunque bonus esse videri velis, operam des, ut etiam bonus sis. Quaecunque autem apud homines virtutes appellantur, eas omnes si consideres, doctrina et exercitatione augeri animadvertes. Atque hoc modo, mi Critobule, nos amicos venari oportere arbitror: tu si aliter judicas, doce. Et Critobulus, Me vero pudeat, inquit, his contradicere, mi So-

Digitized by Google

νοίμην ἂν, ἔφη, ὦ Σώκρατες, ἀντιλέγων τούτοις· οὔτε γὰρ καλὰ, οὔτε ἀληθῆ λέγοιμ' ἄν.

ζ'. Καὶ μὴν τὰς ἀπορίας γε τῶν φίλων, τὰς μὲν δι' ἄγνοιαν, ἐπειρᾶτο γνώμῃ ἀκεῖσθαι, τὰς δὲ δι' ἔνδειαν, διδάσκων κατὰ δύναμιν ἀλλήλοις ἐπαρκεῖν. ἐρῶ δὲ καὶ ἐν τούτοις, ἃ σύνοιδα αὐτῷ. Ἀρίσταρχον γάρ ποτε ὁρῶν σκυθρωπῶς ἔχοντα, Ἔοικας, ἔφη, ὦ Ἀρίσταρχε, βαρέως φέρειν τι. χρὴ δὲ τοῦ βάρους μεταδιδόναι τοῖς φίλοις· ἴσως γὰρ ἄν τι σὲ καὶ ἡμεῖς κουφίσαιμεν. Καὶ ὁ Ἀρίσταρχος, Ἀλλὰ μὴν, ἔφη, ὦ Σώκρατες, ἐν πολλῇ γε εἰμὶ ἀπορίᾳ. ἐπεὶ γὰρ ἐστασίασεν ἡ πόλις, πολλῶν φυγόντων ὡς τὸν Πειραιᾶ, συνελήλυθασιν ὡς ἐμὲ καταλελειμμέναι ἀ-

crates: nec enim honesta, nec vera dicerem.

7. Et profecto amicorum difficultatibus, quae ex ignoratione provenirent, consilio mederi conabatur: quae vero ex egestate, docendo ut pro viribus invicem subvenirent. Dicam autem, quid hac etiam in parte mihi de ipso constat. Nam, quum aliquando Aristarchum tristem cerneret, Videris, ait, mi Aristarche, quiddam moleste ferre. Debes autem molestiam hanc cum amicis communicare; fortassis enim nonnihil etiam nos te sublevaverimus. Et Aristarchus, Enimvero, mi Socrates, ait, magna in difficultate versor. Nam quia seditiones hac in civitate motae sunt, multis in Piraeum confugientibus, convenerunt ad me relictae tot

Digitized by Google

δελφαί τε, καὶ ἀδελφιδαῖ, καὶ ἀνεψιαὶ τοσαῦται, ὥστ' εἶναι ἐν τῇ οἰκίᾳ τεσσαρεσκαίδεκα τοὺς ἐλευθέρους. λαμβάνομεν δὲ οὔτε ἐκ τῆς γῆς οὐδέν, (οἱ γὰρ ἐναντίοι κρατοῦσιν αὐτῆς) οὔτε ἀπὸ τῶν οἰκιῶν· (ὀλιγανθρωπία γὰρ ἐν τῷ ἄστει γέγονε) τὰ ἐπιπλα δὲ οὐδεὶς ὠνεῖται, οὐδὲ δανείσασθαι οὐδαμόθεν ἐστὶν ἀργύριον· ἀλλὰ πρότερον ἄν τις μοὶ δοκεῖ ἐν τῇ ὁδῷ ζητῶν εὑρεῖν, ἢ δανειζόμενος λαβεῖν. χαλεπὸν μὲν οὖν ἐστιν, ὦ Σώκρατες, τοὺς οἰκείους περιορᾶν ἀπολλυμένους, ἀδύνατον δὲ τοσούτους τρέφειν ἐν τοιούτοις πράγμασιν.

Ἀκούσας οὖν ταῦτα ὁ Σωκράτης, Τί ποτε ἐστὶν, ἔφη, ὅτι ὁ Κεράμων μὲν πολλοὺς τρέφων, οὐ μόνον ἑαυτῷ τε καὶ τούτοις τὰ ἐπιτή-

---

sorores, sororum filiae, et consobrinae, ut meis in aedibus quatuordecim homines liberi sint. Neque vero vel ex agro (quo potiuntur adversarii) quicquam accipimus; neque (quod hominum exiguus in urbe sit numerus) ex aedibus. Supellectilem emit nemo, neque usquam mutuum capi potest: sed citius in via quis argentum quaerendo inveniat, quam mutuum accipiat. Grave quidem certe est, mi Socrates, ut quis propinquos negligat pereuntes; sed fieri non potest, ut aliquis, quum res ita sint, tot homines alat.

Haec quum audisset Socrates: Quid est causae, inquit, quod Ceramo complures alens, non sibi solum atque illis suppeditare necessaria potest; sed etiam tantum praeterea la-

Digitized by Google

δεια δύναται παρέχειν, ἀλλὰ καὶ περιποιεῖται τοσαῦτα, ὥστε καὶ πλουτεῖν· σὺ δὲ πολλοὺς τρέφων, δέδοικας μὴ δι' ἔνδειαν τῶν ἐπιτηδείων ἅπαντες ἀπόλησθε; Ὅτι νὴ Δί', ἔφη, ὁ μὲν δούλους τρέφει, ἐγὼ δὲ ἐλευθέρους. Καὶ πότερον, ἔφη, τοὺς παρὰ σοὶ ἐλευθέρους οἴει βελτίους εἶναι, ἢ τοὺς παρὰ Κεράμωνι δούλους; Ἐγὼ μὲν οἶμαι, ἔφη, τοὺς παρὰ ἐμοὶ ἐλευθέρους. Οὐκοῦν, ἔφη, αἰσχρὸν τὸν μὲν ἀπὸ τῶν πονηροτέρων εὐπορεῖν, σὲ δὲ πολλῷ βελτίους ἔχοντα ἐν ἀπορίαις εἶναι; Νὴ Δί', ἔφη, ὁ μὲν γὰρ τεχνίτας τρέφει, ἐγὼ δὲ ἐλευθερίως πεπαιδευμένους. Ἆρ' οὖν, ἔφη, τεχνῖταί εἰσιν οἱ χρήσιμόν τι ποιεῖν ἐπιστάμενοι; Μάλιστά γ', ἔφη. Οὐκοῦν χρήσιμά

---

crum facit, ut dives sit: tu multos alens metuis, ne ob necessariorum inopiam omnes pereatis? Quia profecto, ait, servos alit is, ego liberos homines. Utrum vero, inquit *Socrates*, putas liberos, qui tecum sunt, meliores esse, an Ceramonis servos? Puto liberos qui mecum sunt. Annon igitur turpe est, inquit, illum per homines viliores opibus affluere, te, qui multo meliores habes, inopia premi? Minime, inquit: nam ille artifices alit, ego liberaliter educatos. Artifices ergo sunt, inquit, qui quid utile facere possunt? Maxime, ait. Ergo farina est utilis? Ac vehementer quidem. Quid? panes? Nihilo minus. Quid, ait, vestes viriles ac mu-

Digitized by Google

γ' ἄλφιτα; Σφόδρα γε. Τί δ'; ἄρτοι; Οὐδὲν ἧττον. Τί γάρ; ἔφη, ἱμάτιά τε ἀνδρεῖα καὶ γυναικεῖα, καὶ χιτωνίσκοι, καὶ χλαμύδες, καὶ ἐξωμίδες; Σφόδρα γ', ἔφη, καὶ πάντα ταῦτα χρήσιμα. Ἔπειτα, ἔφη, οἱ παρὰ σοὶ τούτων οὐδὲν ἐπίστανται ποιεῖν; Πάντα μὲν οὖν, ὡς ἐγῷμαι. Εἶτ' οὐκ οἶσθα, ὅτι ἀφ' ἑνὸς μὲν τούτων, ἀλφιτοποιΐας, Ναυσικύδης οὐ μόνον ἑαυτόν τε καὶ τοὺς οἰκέτας τρέφει, ἀλλὰ πρὸς τούτοις καὶ ὗς πολλὰς καὶ βοῦς, καὶ περιποιεῖται τοσαῦτα, ὥστε καὶ τῇ πόλει πολλάκις λειτουργεῖν· ἀπὸ δὲ ἀρτοποιΐας Κυρίβος τήν τε οἰκίαν πᾶσαν διατρέφει, καὶ ζῇ δαψιλῶς· Δημέας δὲ ὁ Κολυττεὺς ἀπὸ χλαμυδουργίας, Μένων δ'

---

liebres, et tuniculae, et chlamydes, et exomides? Admodum, ait, utilia etiam haec omnia. Jam vero, inquit, qui tecum sunt, nihil horum possunt elaborare? Immo vero omnia, ut arbitror. Ergo tu ignoras Nausicydem facienda farina, quod unum ex his est, non solum seipsum et domesticos alere, sed praeterea multas sues, et vaccas; atque etiam lucrari tantum, ut saepius civitati sumptum suppeditet: Curibum pane faciendo familiam omnem nutrire, et vivere largiter: Demeam Collytensem, conficiendis chlamydibus: Menonem penulis: Megarensium maximam partem exomidum

Digitized by Google

ἀπὸ χλανιδοποιΐας, Μεγαρέων δὲ οἱ πλεῖστοι, ἔφη, ἀπὸ ἐξωμιδοποιΐας διατρέφονται; Νὴ Δί', ἔφη, οὗτοι μὲν γὰρ ὠνούμενοι βαρβάρους ἀνθρώπους ἔχουσιν, ὥστε ἀναγκάζειν ἐργάζεσθαι, ἃ καλῶς ἔχει· ἐγὼ δ' ἐλευθέρους τε καὶ συγγενεῖς. Ἔπειτ', ἔφη, ὅτι ἐλεύθεροί τ' εἰσὶ καὶ συγγενεῖς σοι, οἴει χρῆναι αὐτοὺς μηδὲν ἄλλο ποιεῖν, ἢ ἐσθίειν καὶ καθεύδειν; πότερον καὶ τῶν ἄλλων ἐλευθέρων τοὺς οὕτω ζῶντας ἄμεινον διάγοντας ὁρᾷς, καὶ μᾶλλον εὐδαιμονίζεις, ἢ τοὺς, ἃ ἐπίστανται χρήσιμα πρὸς τὸν βίον, τούτων ἐπιμελομένους; ἢ τὴν μὲν ἀργίαν καὶ τὴν ἀμέλειαν αἰσθάνῃ τοῖς ἀνθρώποις πρός τε τὸ μαθεῖν ἃ προσήκει ἐπίστασθαι, καὶ πρὸς τὸ μνημονεύειν ἃ ἂν

confectione sese alere? Profecto, inquit: nam illi barbaros quosdam emptos habent, quos possunt cogere ad elaborandum; quae res non est illis pro dedecore: ego autem liberos homines et cognatos. Ergo, inquit, quod liberi sint et tibi cognati, propterea putas eis aliud nihil faciendum esse, quam ut edant ac dormiant: num et inter alios liberos homines, eos qui ita vivant commodius degere vides, felicioresque praedicas illis, qui eorum curam habent, quaecunque ad vitam utilia norunt? An otium et negligentiam prodesse animadvertis hominibus ad discendum ea quae scire convenit, et ad reminiscendum quaecunque didicerint; et ad valetudinem

Digitized by Google

μάθωσι, καὶ πρὸς τὸ ὑγιαίνειν τε καὶ ἰσχύειν τοῖς σώμασι, καὶ πρὸς τὸ κτήσασθαί τε καὶ σώζειν τὰ χρήσιμα πρὸς τὸν βίον, ὠφέλιμα ὄντα, τὴν δὲ ἐργασίαν καὶ τὴν ἐπιμέλειαν οὐδὲν χρήσιμα; Ἔμαθον δὲ, ἃ φὴς αὐτὰς ἐπίστασθαι, πότερον ὡς οὔτε χρήσιμα ὄντα πρὸς τὸν βίον, οὔτε ποιήσουσαι αὐτῶν οὐδὲν, ἢ, τοὐναντίον, ὡς καὶ ἐπιμεληθησόμεναι τούτων, καὶ ὠφεληθησόμεναι ἀπ' αὐτῶν; ποτέρως γὰρ ἂν μᾶλλον ἄνθρωποι σωφρονοῖεν, ἀργοῦντες, ἢ τῶν χρησίμων ἐπιμελούμενοι; ποτέρως δ' ἂν δικαιότεροι εἶεν, εἰ ἐργάζοιντο, ἢ εἰ ἀργοῦντες βουλεύοιντο περὶ τῶν ἐπιτηδείων; Ἀλλὰ καὶ νῦν μὲν, ὡς ἐγὼ οἶμαι, οὔτε σὺ ἐκείνας φιλεῖς, οὔτε ἐκεῖναι σέ· σὺ μὲν ἡγού-

roburque corporum; et ad parandum ac conservandum ea quae ad vitam utilia sunt: negotium vero ac diligentiam nihil prodesse putas? Num ea, quae dicis illas tenere, sic didicerunt, ut nec ad vitam utilia essent, neque quidquam eorum facerent; an e diverso, ut et diligenter in eis elaborarent, et utilitatem inde caperent? Utro modo homines animo saniori uterentur, in otio degendo, an curam iis impendendo, quae expediant? utro modo officia sua melius praestarent, si operentur, an si in otio de victu deliberent? Quin etiam, mea sententia, neque tu jam illas diligis, neque illae te: tu, quod eas esse tibi detrimento existimes, illae, quod te sua

Digitized by Google

μενος αὐτὰς ἐπιζημίους εἶναι σεαυτῷ, ἐκεῖναι δὲ σὲ ὀρῶσαι ἀχθόμενον ἐφ' ἑαυταῖς. ἐκ δὲ τούτων κίνδυνος μείζω τε ἀπέχθειαν γίγνεσθαι, καὶ τὴν προγεγονυῖαν χάριν μειοῦσθαι. ἐὰν δὲ προστάτης ᾖς, ὅπως ἐνεργοὶ ὦσι, σὺ μὲν ἐκείνας φιλήσεις, ὁρῶν ὠφελίμους σεαυτῷ οὔσας, ἐκεῖναι δὲ σὲ ἀγαπήσουσιν, αἰσθόμεναι χαίροντά σε αὐταῖς. τῶν δὲ προγεγονυιῶν εὐεργεσιῶν ἥδιον μεμνημένοι, τὴν ἀπ' ἐκείνων χάριν αὐξήσετε, καὶ ἐκ τούτων φιλικώτερόν τε καὶ οἰκειότερον ἀλλήλοις ἕξετε.

Εἰ μὲν τοίνυν αἰσχρόν τι ἔμελλον ἐργάσασθαι, θάνατον ἀντ' αὐτοῦ προαιρετέον ἦν· νῦν δὲ, ἃ μὲν δοκεῖ κάλλιστα καὶ πρεπωδέσ-

---

causa gravari videant: ex his periculum est, ne et majus odium oriatur, et pristina gratia minuatur. At si te praeside operas faciant, tu quidem eas diliges, quia videbis ipsas tibi esse utiles; et amabunt illae te contra, ubi animadvertent, te iis delectari. Atque etiam priorum beneficiorum cum voluptate recordantes, gratiam eis partam augebitis, ac deinde amicius familiariusque invicem afficiemini.

Jam si turpe quid eis esset agendum, mors potius esset eligenda. At vero norunt illae, ceu par est, quaecunque videntur mulieri honestissima esse, maximeque decora. Omnes,

Digitized by Google

τερα γυναικὶ εἶναι, ἐπίστανται, ὡς ἔοικε. πάντες δὲ ἃ ἐπίστανται, ῥᾷστά τε, καὶ τάχιστα, καὶ κάλλιστα, καὶ ἥδιστα ἐργάζονται. μὴ οὖν ὄκνει, ἔφη, ταῦτα εἰσηγεῖσθαι αὐταῖς, ἃ σοί τε λυσιτελεῖ κἀκείναις· καὶ, ὡς εἰκὸς, ἡδέως ὑπακούσονται. Ἀλλὰ νὴ τοὺς θεοὺς, ἔφη ὁ Ἀρίσταρχος, οὕτω μοι δοκεῖς καλῶς λέγειν, ὦ Σώκρατες, ὥστε πρόσθεν μὲν οὐ προσιέμην δανείσασθαι, εἰδὼς ὅτι, ἀναλώσας ὃ ἂν λάβω, οὐχ ἕξω ἀποδοῦναι, νῦν δέ μοι δοκῶ εἰς ἔργων ἀφορμὴν ὑπομένειν αὐτὸ ποιῆσαι. Ἐκ τούτων δὲ ἐπορίσθη μὲν ἀφορμὴ, ἐωνήθη δὲ ἔρια· καὶ ἐργαζόμεναι μὲν ἡρίστων, ἐργασάμεναι δὲ ἐδείπνουν· ἱλαραὶ δὲ ἀντὶ σκυθρωπῶν ἦσαν, καὶ ἀντὶ ὑφορω-

quae norunt, tum facillime, tum celerrime, tum elegantissime, tum summa cum voluptate operantur. Ne cuncteris igitur, inquit, ut ad ea sis illis auctor, quae tum tibi tum illis expediunt: in quo quidem, ceu par est, perlubenter tibi obtemperabunt. Profecto, inquit Aristarchus, tam mihi praeclare dicere videris, mi Socrates, ut quum antea mutuari noluissem, quod scirem me, absumpta mutuo data pecunia, non habiturum unde solverem; nunc mihi videar id facturus ad subeundas operarum impensas. Inde comparata fuit impensa; emptae lanae; mulieres inter operas prandebant, ac operis absolutis coenabant: item pro tristibus hilares erant; et quae prius suspectae invicem erant, nunc

Digitized by Google

μένων ἑαυτὰς, ἡδέως ἀλλήλας ἑώρων· καὶ αἱ μὲν ὡς κηδεμόνα ἐφίλουν, ὁ δὲ ὡς ὠφελίμους ἠγάπα. τέλος δὲ ἐλθὼν πρὸς τὸν Σωκράτην, χαίρων διηγεῖτο ταῦτά τε, καὶ ὅτι αἰτιῶνται αὐτὸν μόνον τῶν ἐν τῇ οἰκίᾳ ἀργὸν ἐσθίειν.

Καὶ ὁ Σωκράτης ἔφη, Εἶτα οὐ λέγεις αὐταῖς τὸν τοῦ κυνὸς λόγον; Φασὶ γὰρ, ὅτε φωνήεντα ἦν τὰ ζῶα, τὴν οἶν πρὸς τὸν δεσπότην εἰπεῖν, Θαυμαστὸν ποιεῖς, ὃς ἡμῖν μὲν ταῖς καὶ ἔριά σοι, καὶ ἄρνας, καὶ τυρὸν παρεχούσαις οὐδὲν δίδως, ὅ, τι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν, τῷ δὲ κυνὶ, ὃς οὐδὲν τοιοῦτόν σοι παρέχει, μεταδίδως οὗπερ αὐτὸς ἔχεις σίτου. Τὸν κύνα οὖν ἀκούσαντα εἰπεῖν, Ναὶ μὰ Δία, ἐγὼ γάρ εἰμι ὁ καὶ ὑμᾶς αὐτὰς

aliae alias suaviter intuebantur: Aristarchum illae tanquam curatorem diligebant, illas Aristarchus tanquam sibi utiles amabat. Tandem ad Socratem quum accessisset, narrabat et haec cum voluptate, et quod se solum inter omnes in domo reprehenderent, ut qui otiosus ederet.

Tum Socrates: Tu vero non canis fabulam eis narras? Aiunt enim, id temporis, quum voce uterentur animalia, dixisse ad herum suum ovem: Facis sane mirum quiddam, qui nobis, lanas, agnos, caseum tibi suppeditantibus, nihil das extra id, quod e terra consequimur; Cani vero, qui nihil tale tibi praebet, cibum illum communicas, quo ipse vesceris. At canem his auditis dixisse: Non abs re profecto. Nam ego is

Digitized by Google

σώζων, ὥστε μήτε ὑπ' ἀνθρώπων κλέπτεσθαι, μήτε ὑπὸ λύκων ἁρπάζεσθαι· ἐπεὶ ὑμεῖς γε, εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ' ἂν νέμεσθαι δύναισθε, φοβούμεναι μὴ ἀπόλησθε. Οὕτω δὴ λέγεται καὶ τὰ πρόβατα συγχωρῆσαι, τὸν κύνα προτιμᾶσθαι. καὶ σὺ οὖν ἐκείναις λέγε, ὅτι ἀντὶ κυνὸς εἶ φύλαξ καὶ ἐπιμελητής, καὶ διὰ σὲ οὐδ' ὑφ' ἑνὸς ἀδικούμεναι ἀσφαλῶς τε καὶ ἡδέως ἐργαζόμεναι ζῶσιν.

η'. Ἄλλον δέ ποτε ἀρχαῖον ἑταῖρον διὰ χρόνου ἰδὼν, Πόθεν, ἔφη, Εὔθηρε, φαίνῃ; Ὑπὸ μὲν τὴν κατάλυσιν τοῦ πολέμου, ἔφη, ὦ Σώκρατες, ἐκ τῆς ἀποδημίας, νυνὶ. μέντοι αὐτόθεν. ἐπειδὴ γὰρ ἀφῃρέθημεν τὰ ἐν τῇ

---

sum, qui vos ipsas conservat, ut neque furto ab hominibus auferamini, neque a lupis rapiamini. Vos quidem certe, nisi pro vobis ego excubarem, ne pastum quidem habere possetis, veritae scilicet ne periretis. Atque hoc modo perhibetur, oves ipsas concessisse, ut canis potiori conditione frueretur. Itaque tu etiam illis dicito, te canis instar custodem esse, curamque gerere, cujus opera laesae a nemine, secure suáviterque suas operas obeundo vivant.

8. Quum aliquando sodalem alium veterem longo ex intervallo videret: Unde nobis ades, ait, Euthere? sub exitum belli, mi Socrates, inquit, de peregrinatione; nunc ex hoc ipso loco. Quando enim extra fines Atticae sita praedia mihi

Digitized by Google

ὑπερορίᾳ κτήματα, ἐν δὲ τῇ Ἀττικῇ ὁ πατήρ μοι οὐδὲν κατέλιπεν, ἀναγκάζομαι νῦν ἐπιδημήσας, τῷ σώματι ἐργαζόμενος τὰ ἐπιτήδεια πορίζεσθαι. δοκεῖ δέ μοι τοῦτο κρεῖττον εἶναι, ἢ δεῖσθαί τινος ἀνθρώπων, ἄλλως τε καὶ μηδὲν ἔχοντα, ἐφ' ὅτῳ ἂν δανειζοίμην. Καὶ πόσον χρόνον οἴει σοι, ἔφη, τὸ σῶμα ἱκανὸν εἶναι μισθοῦ τὰ ἐπιτήδεια ἐργάζεσθαι; Μὰ τὸν Δί', ἔφη, οὐ πολὺν χρόνον. Καὶ μήν, ἔφη, ὅταν γε πρεσβύτερος γένῃ, δῆλον ὅτι δαπάνης μὲν δεήσῃ, μισθὸν δὲ οὐδείς σοι θελήσει τῶν τοῦ σώματος ἔργων διδόναι. Ἀληθῆ λέγεις, ἔφη. Οὐκοῦν, ἔφη, κρεῖττόν ἐστιν αὐτόθεν τοῖς τοιούτοις τῶν ἔργων ἐπιτίθεσθαι, ἃ καὶ πρεσβυτέρῳ γενομένῳ ἐπαρ-

sunt adempta, nec pater in Attica mihi quidquam reliquit; cogor jam domi degens corpore faciundis operis victum quaerere. Et videtur hoc mihi praestare, quam aliquem rogare mortalium, praesertim cum nihil habeam, super quo mutuarer. At quamdiu putas, inquit, corpus tibi suffecturum, ut victum pro mercede laborando quaeras? Profecto non diu, inquit. Itaque quum consenueris, ait, sumptu tu quidem egebis, at nemo tibi mercedem pro corporis laboribus pendet. Vere dicis, inquit. Ergo praestat, ait, ea te opera jam nunc aggredi, quae tibi etiam ubi senueris sufficiant; et locuplete quodam convento, qui coadjutore indigeat, operibus ipsius praefici, fructus congerere, facultates

κέσει, καὶ προσελθόντα τῷ τῶν πλείονα χρήματα πεπτημένων, τῷ δεομένῳ τοῦ συνεπιμελησομένου, ἔργων τε ἐπιστατοῦντα, καὶ συγκομίζοντα καρπούς, καὶ συμφυλάττοντα τὴν οὐσίαν, ὠφελοῦντα ἀντωφελεῖσθαι; Χαλεπῶς ἄν, ἔφη, ἐγώ, ὦ Σώκρατες, δουλείαν ὑπομείναιμι. Καὶ μὴν οἵ γε ἐν ταῖς πόλεσι προστατεύοντες, καὶ τῶν δημοσίων ἐπιμελόμενοι, οὐ δουλοπρεπέστεροι ἕνεκα τούτου, ἀλλ' ἐλευθεριώτεροι νομίζονται. Ὅλως μὴν, ἔφη, ὦ Σώκρατες, τὸ ὑπαίτιον εἶναί τινι οὐ πάνυ προσίεμαι. Καὶ μὴν, ἔφη, Εὔθηρε, οὐ πάνυ γε ῥᾴδιόν ἐστιν εὑρεῖν ἔργον, ἐφ' ᾧ οὐκ ἄν τις αἰτίαν ἔχοι. χαλεπὸν γὰρ οὕτω τι ποιῆσαι, ὥστε μηδὲν ἁμαρτεῖν, χαλεπὸν δὲ καὶ ἀνα-

una custodire; ut eum juvans ab illo vicissim adjuveris. Ego vero, mi Socrates, inquit, aegre servitutem perferre possim. Atqui civitatum praesides, publicarumque rerum curatores, non idcirco magis serviles, sed magis liberi existimantur. Omnino, mi Socrates, ait, non admodum velim alicui me culpabilem esse. Atqui, mi Euthere, inquit, non facile reperiri potest opus, in quo non aliquis culpetur. Est enim difficile, sic aliquid agere, ut nihil delinquas: quod si etiam sine delicto quisquam aliquid faciat, in judicem non iniquum incidere difficile est. Nam et in illis quae nunc operari dicis,

Digitized by Google

μαρτήτως τι ποιήσαντας μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν. ἐπεὶ, καὶ οἷς νῦν ἐργάζεσθαι φῂς, θαυμάζω, εἰ ῥᾴδιόν ἐστιν ἀνέγκλητον διαγίγνεσθαι. Χρὴ οὖν πειρᾶσθαι τούς τε φιλαιτίους φεύγειν, καὶ τοὺς εὐγνώμονας διώκειν· καὶ τῶν πραγμάτων ὅσα μὲν δύνασαι ποιεῖν, ὑπομένειν, ὅσα δὲ μὴ δύνασαι, φυλάττεσθαι· ὅ, τι δ' ἂν πράττῃς, τούτου ὡς κάλλιστα καὶ προθυμότατα ἐπιμελεῖσθαι. οὕτω γὰρ ἥκιστα μέν σε οἶμαι ἐν αἰτίᾳ εἶναι, μάλιστα δὲ τῇ ἀπορίᾳ βοήθειαν εὑρεῖν, ῥᾷστα δὲ καὶ ἀκινδυνότατα ζῆν καὶ εἰς τὸ γῆρας διαρκέστατα.

θ'. Οἶδα δέ ποτε αὐτὸν καὶ Κρίτωνος ἀκούσαντα, ὡς χαλεπὸν ὁ βίος Ἀθήνησιν εἴη

---

miror si facile sit ut inculpatus degas. Te igitur conari decet, ut culpandi cupidos fugias, aequosque rerum aestimatores secteris: et negotia, quaecunque conficere potes, ut suscipias; quae non potes, caveas: quicquid autem feceris, in id uti quam rectissime promptissimeque incumbas. Nam ita futurum arbitror, ut minime culperis, inopiamque tuam maxime subleves, ac facillime omnis expers periculi, magna in rerum copia etiam in senecta vivas.

9. Et scio ipsum *Socratem*, aliquando ex Critone audivisse, difficulter Athenis hominem degere posse, qui velit suas

Digitized by Google

ἀνδρὶ βουλομένῳ τὰ ἑαυτοῦ πράττειν· Νῦν γὰρ, ἔφη, ἐμέ τινες εἰς δίκας ἄγουσιν, οὐχ ὅτι ἀδικοῦνται ὑπ' ἐμοῦ, ἀλλ' ὅτι νομίζουσιν ἥδιον ἄν με ἀργύριον τελέσαι, ἢ πράγματα ἔχειν. Καὶ ὁ Σωκράτης, Εἰπέ μοι, ἔφη, ὦ Κρίτων, κύνας δὲ τρέφεις, ἵνα σοι τοὺς λύκους ἀπὸ τῶν προβάτων ἀπερύκωσιν; Καὶ μάλα, ἔφη· μᾶλλον γάρ μοι λυσιτελεῖ τρέφειν, ἢ μή. Οὐκ ἂν οὖν θρέψαις καὶ ἄνδρα, ὅστις ἐθέλοι τε καὶ δύναιτο σοῦ ἀπερύκειν τοὺς ἐπιχειροῦντας ἀδικεῖν σε. Ἥδέως γ' ἄν, ἔφη, εἰ μὴ φοβοίμην, ὅπως μὴ ἐπ' αὐτόν με τράποιτο. Τί δ'; ἔφη, οὐχ ὁρᾷς, ὅτι πολλῷ ἥδιόν ἐστι, χαριζόμενον οἱῳ σοὶ ἀνδρὶ, ἢ ἀπεχθανόμενον, ὠφελεῖσθαι; εὖ ἴσθ' ὅτι εἰσὶν ἐνθάδε

---

solummodo res agere. Nunc enim me nonnulli, ait, in jus rapiunt, non quod a me fiat eis injuria, sed quod existiment, libentius me pecuniam exsoluturum, quam habiturum negotia. Tum Socrates, Dic mihi, mi Crito, ait, annon canes alis, ut lupos ab ovibus arceant? Maxime, inquit; quum mihi plus expediat alere, quam non. Annon igitur etiam hominem decet alere, qui et velit et possit illos arcere, quotquot injuria te conantur afficere? Perlubenter sane, inquit; nisi veterer, ne adversus meipsum se converteret. Quid autem? ait: non multo jucundius esse vides, aliquem viro tali, qualis tu es, gratificantem potius, quam infestum, juvari? sat

τῶν τοιούτων ἀνδρῶν, οἳ πάνυ ἂν φιλοτιμηθεῖεν φίλῳ σοι χρῆσθαι.

Καὶ ἐκ τούτων ἀνευρίσκουσιν Ἀρχέδημον, πάνυ μὲν ἱκανὸν εἰπεῖν τε καὶ πρᾶξαι, πένητα δέ. οὐ γὰρ ἦν οἷος ἀπὸ παντὸς κερδαίνειν, ἀλλὰ φιλόχρηστός τε, καὶ ἔφη ῥᾷστον εἶναι ἀπὸ τῶν συκοφαντῶν λαμβάνειν. Τούτῳ οὖν ὁ Κρίτων, ὁπότε συγκομίζοι ἢ σῖτον, ἢ ἔλαιον, ἢ οἶνον, ἢ ἔρια, ἢ ἄλλο τι τῶν ἐν ἀγρῷ γιγνομένων χρησίμων πρὸς τὸν βίον, ἀφελὼν ἔδωκε· καὶ ὁπότε θύοι, ἐκάλει, καὶ τὰ τοιαῦτα πάντα ἐπεμελεῖτο. Νομίσας δὲ ὁ Ἀρχέδημος ἀποστροφὴν οἱ τὸν Κρίτωνος οἶκον, μάλα περιεῖπεν αὐτόν. καὶ εὐθὺς τῶν συκοφαντούντων τὸν Κρίτωνα ἀνευρήκει πολλὰ

scito esse tales hic homines, qui magno sibi honori ducerent, si te amico uterentur.

Ex eorum numero Archedemum inveniunt, dicendi quidem agendique peritissimum, sed pauperem. Non enim is erat, qui abs quovis lucrum caperet, sed aequitatis studiosus esset, ac soleret dicere, esse facillimum sycophantis aliquid abripere. Huic igitur Crito, quoties aut frumentum, aut oleum, aut vinum, aut lanas, aut aliquid aliud rerum in praedio suo nascentium, et ad vitam utilium, colligeret, partem detractam donabat: eundem quoties rem sacram faceret, invitabat; et in omnibus hujusmodi curam ejus habebat. Itaque quum existimaret Archedemus, domum Critonis sibi refugii loco esse, coe-

Digitized by Google

μὲν ἀδικήματα, πολλοὺς δ' ἐχθροὺς, καὶ προεπαλέσατο εἰς δίκην δημοσίαν, ἐν ᾗ αὐτὸν ἔδει κριθῆναι, ὅ, τι δεῖ παθεῖν ἢ ἀποτίσαι. Ὁ δὲ, συνειδὼς αὐτῷ πολλὰ καὶ πονηρὰ, πάντ' ἐποίει, ὥστε ἀπαλλαγῆναι τοῦ Ἀρχεδήμου. ὁ δὲ Ἀρχέδημος οὐκ ἀπηλλάττετο, ἕως τόν τε Κρίτωνα ἀφῆκε, καὶ αὐτῷ χρήματα ἔδωκεν. Ἐπεὶ δὲ τοῦτό τε καὶ ἄλλα τοιαῦτα ὁ Ἀρχέδημος διεπράξατο ἤδη, τότε, ὥσπερ ὅταν νομεὺς ἀγαθὸν νύα ἔχῃ, καὶ οἱ ἄλλοι νομεῖς βούλωνται πλησίον αὐτοῦ τὰς ἀγέλας ἱστάναι, ἵνα τοῦ κυνὸς ἀπολαύωσιν, οὕτω καὶ τοῦ Κρίτωνος πολλοὶ τῶν φίλων ἐδέοντο καὶ σφίσι παρέχειν φύλακα τὸν Ἀρχέδημον. Ὁ δὲ Ἀρχέδημος τῷ Κρίτωνι

pit eum plurimum observare. Moxque unius calumniatorum Critonis multa per injuriam facta, multosque reperit inimicos, atque in judicium accersit, ubi judicari oportebat, quid pati aut solvere oporteret. Calumniator, multorum sibi malorumque facinorum conscius, nihil non moliebatur, ut ab Archedemo liberaretur. Archedemus vero finem nullum faciebat, donec ille Critonem absolvisset, et pecuniam sibi numerasset. Id ubi Archedemus, aliaque similia perfecisset; tum non aliter, atque ubi pastor aliquis canem bonum habet, caeterique pastores haud procul ab illo greges suos sistere cupiunt, ut cane fruantur; ita et complures Critonis amici rogabant, ut etiam sibi Archedemum custodem concederet.

Digitized by Google

ἡδέως ἐχαρίζετο, καὶ οὐχ ὅτι μόνος ὁ Κρίτων ἐν ἡσυχίᾳ ἦν, ἀλλὰ καὶ οἱ φίλοι αὐτοῦ. εἰ δέ τις αὐτῷ τούτων, οἷς ἀπήχθετο, ὀνειδίζοι, ὡς ὑπὸ Κρίτωνος ὠφελούμενος κολακεύοι αὐτόν· Πότερον οὖν, ἔφη ὁ Ἀρχέδημος, αἰσχρόν ἐστιν εὐεργετούμενον ὑπὸ χρηστῶν ἀνθρώπων καὶ ἀντευεργετοῦντα, τοὺς μὲν τοιούτους φίλους ποιεῖσθαι, τοῖς δὲ πονηροῖς διαφέρεσθαι· ἢ τοὺς μὲν καλοὺς καὶ ἀγαθοὺς ἀδικεῖν πειρώμενον, ἐχθροὺς ποιεῖσθαι, τοῖς δὲ πονηροῖς συνεργοῦντα, πειρᾶσθαι φίλους ποιεῖσθαι, καὶ χρῆσθαι τούτοις ἀντ' ἐκείνων; Ἐκ δὲ τούτου εἷς τε τῶν Κρίτωνος φίλων Ἀρχέδημος ἦν, καὶ ὑπὸ τῶν ἄλλων Κρίτωνος φίλων ἐτιμᾶτο.

Archedemus vero Critoni perlubenter gratificabatur, neque jam solus Crito quiete fruebatur, sed etiam ipsius amici. Et si quis eorum quibus erat odio, exprobaret ei, quod perceptis a Critone commodis, eidem adularetur: Utrum, inquit, turpe est, eum, qui a probis hominibus beneficiis affectus sit, vicissim beneficium praestando, ejusmodi homines amicos facere, et ab improbis dissidere; an pulchri bonique studiosos laedere conantem, eosdem inimicos efficere; et pravos juvando, amicitiam eorum sibi conciliare; hisque potius quam illis uti? Ex eo tempore unus ex Critonis amicis Archedemus erat, et a caeteris Critonis amicis colebatur.

Digitized by Google

ί. Οἶδα δὲ καὶ Διοδώρῳ αὐτὸν ἑταίρῳ ὄντι τοιάδε διαλεχθέντα· Εἰπέ μοι, ἔφη, ὦ Διόδωρε, ἄν τις σοὶ τῶν οἰκετῶν ἀποδρᾷ, ἐπιμελῇ ὅπως ἀναπομίσῃ; Καὶ ἄλλους γε νὴ Δί', ἔφη, παρακαλῶ, σῶστρα τούτῳ ἀνακηρύσσων. Τί γάρ; ἔφη, ἐάν τις σοὶ κάμνῃ τῶν οἰκετῶν, τούτου ἐπιμελῇ, καὶ παρακαλεῖς ἰατροὺς, ὅπως μὴ ἀποθάνῃ; Σφόδρα γ', ἔφη. Εἰ δέ τις σοὶ τῶν γνωρίμων, ἔφη, πολὺ τῶν οἰκετῶν χρησιμώτερος ὢν, κινδυνεύει δι' ἔνδειαν ἀπολέσθαι, οὐκ οἴει σοι ἄξιον εἶναι ἐπιμεληθῆναι, ὅπως διασωθῇ; Καὶ μὴν οἶσθά γε, ὅτι οὐκ ἀγνώμων ἐστὶν Ἑρμογένης, αἰσχύνοιτο δ' ἄν, εἰ ὠφελούμενος ὑπὸ σοῦ μὴ ἀντωφελοίη σε. καίτοι τὸ ὑπηρέτην ἐκόντα

10. Et memini Socratem etiam cum Diodoro, qui ex familiaribus suis erat, aliquando talia disseruisse. Dic mihi, mi Diodore, ait, si quis tuorum servorum abs te aufugiat, conarisne ut eum recipias? Imo, et alios etiam mehercule evoco, mercedem inventionis ejus praeconio denuncians. Quid autem? si quis servorum adversa valetudine laboret, annon curam ejus habes, ac medicos arcessis, ne moriatur? Admodum vero, inquit. Jam si quis familiarium tuorum, ait, qui longe pluris sit tibi quam quisquam servorum, in periculo sit pereundi ex inopia, nonne putas dignum esse, ejus te curam habere, ut evadat incolumis? Scis profecto Hermogenem minime ingratum esse; et eum puderet adjutum

Digitized by Google

τε καὶ εὔνουν καὶ παραμόνιμον, καὶ τὸ κελευόμενον ἱκανὸν ποιεῖν ἔχειν, καὶ μὴ μόνον τὸ κελευόμενον ἱκανὸν ὄντα ποιεῖν, ἀλλὰ δυνάμενον καὶ ἀφ' ἑαυτοῦ χρήσιμον εἶναι, καὶ προνοεῖν καὶ προβουλεύεσθαι, πολλῶν οἰκετῶν οἴμαι ἀντάξιον εἶναι. Οἱ μέντοι ἀγαθοὶ οἰκονόμοι, ὅταν τὸ πολλοῦ ἄξιον μικροῦ ἐξῇ πρίασθαι, τότε φασὶ δεῖν ὠνεῖσθαι. νῦν δὲ διὰ τὰ πράγματα εὐωνοτάτους ἐστὶ φίλους ἀγαθοὺς κτήσασθαι. Καὶ ὁ Διόδωρος, Ἀλλὰ καλῶς γε, ἔφη, λέγεις, ὦ Σώκρατες· καὶ κέλευσον ἐλθεῖν ὡς ἐμὲ τὸν Ἑρμογένην. Μὰ Δί, ἔφη, οὐκ ἔγωγε. νομίζω γὰρ οὔτε σοὶ κάλλιον εἶναι τὸ καλέσαι ἐκεῖνον, τοῦ αὐτὸν ἐλθεῖν πρὸς ἐκεῖνον, οὔτε

abs te, non vicissim te adjuvare. Habere autem ministrum quendam volentem et benevolum, et constantem, et ad agenda imperata idoneum, imo non solum ad imperata agenda promptum, sed qui etiam per se usui possit esse tum in providendo tum in praecipiendis consiliis; equidem multorum servorum instar esse duco. Jubent rei familiaris administratores boni tunc emere, quum magni quippiam pretii licet exiguo comparare. Boni vero amici, hoc rerum statu, vilissimo pretio parari possunt. Bene dicis, ait Diodorus; et jube Hermogenem ad me accedere. Non ego, inquit, per Jovem: puto enim, neque tibi melius fore il-

Digitized by Google

ἐκείνῳ μεῖζον ἀγαθὸν τὸ πραχθῆναι ταῦτα, ἢ σοί.

Οὕτω δὴ ὁ Διόδωρος ᾤχετο πρὸς τὸν Ἑρμογένην, καὶ οὐ πολὺ τελέσας ἐκτήσατο φίλον, ὃς ἔργον εἶχεν σκοπεῖν, ὅ, τι ἂν ἢ λέγων ἢ πράττων ὠφελοίη τε καὶ εὐφραινοί Διόδωρον.

---

lum te, quam te illum adire: neque magis ex illius esse re, quam tua, haec ita fieri.

Hoc modo factum, ut ad Hermogenem Diodorus accederet, neque magna pecunia erogata, compararet amicum talem, cui id esset negotii, ut quid vel proferendo vel agendo Diodoro prodesse, laetitiamque posset afferre, dispiceret.

Digitized by Google

ΞΕΝΟΦΩΝΤΟΣ

ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ

ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

ΚΕΦ. α.

Ὅτι δὲ τοὺς ὀρεγομένους τῶν καλῶν, ἐπιμελεῖς ὧν ὀρέγοιντο ποιῶν, ὠφέλει, νῦν τοῦτο διηγήσομαι. ἀκούσας γάρ ποτε Διονυσόδωρον εἰς τὴν πόλιν ἥκειν, ἐπαγγελλόμενον στρατηγεῖν διδάξειν, ἔλεξε πρός τινα τῶν ξυν-

XENOPHONTIS

MEMORABILIUM

LIBER TERTIUS.

CAP. I.

Quod honorum cupidis pertutilis erat *Socrates*, eos excitando, ut se exercerent in iis quae expeterent, id jam commemorabo. Nam quum audiisset aliquando Dionysodorum in civitatem advenisse, qui exercitus ducendi artem

Digitized by Google

ὄντων, ὃν ἠσθάνετο βουλόμενον τῆς τιμῆς ταύτης ἐν τῇ πόλει τυγχάνειν· Αἰσχρὸν μέντοι, ὦ νεανία, τὸν βουλόμενον ἐν τῇ πόλει στρατηγεῖν, ἐξὸν τοῦτο μαθεῖν, ἀμελῆσαι αὐτοῦ· καὶ δικαίως ἂν οὗτος ὑπὸ τῆς πόλεως ζημιοῖτο πολὺ μᾶλλον, ἢ εἴ τις ἀνδριάντας ἐργολαβοίη, μὴ μεμαθηκὼς ἀνδριαντοποιεῖν. Ὅλης γὰρ τῆς πόλεως ἐν τοῖς πολεμικοῖς κινδύνοις ἐπιτρεπομένης τῷ στρατηγῷ, μεγάλα τά τε ἀγαθὰ, κατορθοῦντος αὐτοῦ, καὶ τὰ κακὰ, διαμαρτάνοντος, εἰκὸς γίγνεσθαι. πῶς οὖν οὐκ ἂν δικαίως ὁ τοῦ μὲν μανθάνειν τοῦτο ἀμελῶν, τοῦ δὲ αἱρεθῆναι ἐπιμελούμενος, ζημιοῖτο;

---

docere profiteretur, ad quendam e familiaribus, quem hujus honoris in civitate consequendi cupidum esse animadverteret, ita dixit: Turpe est eum, mi adolescentule, qui exercitum velit ducere in republica, cum id discere liceat, idem negligere: atque hic multo justius a civitate puniretur, quam si quis statuas fingendas susciperet, cum artem statuariam nunquam didicerit. Nam quum bellicis in periculis universa respublica imperatori committatur, consentaneum est, magna et commoda, eo rem feliciter gerente, et mala, peccante ipso, evenire. Cur igitur non is merito, qui idem discere negligit, ac nihilominus ut eligatur solicitus est, multari debeat?

Digitized by Google

Τοιαῦτα μὲν δὴ λέγων ἔπεισεν αὐτὸν ἐλθόντα μανθάνειν. Ἐπεὶ δὲ μεμαθηκὼς ἦκε, προσέπαιζεν αὐτῷ, λέγων· Οὐ δοκεῖ ὑμῖν, ὦ ἄνδρες, ὥσπερ Ὅμηρος τὸν Ἀγαμέμνονα γεραιὸν ἔφη εἶναι, καὶ οὕτω δὲ στρατηγεῖν μαθὼν, γεραιώτερος φαίνεσθαι; καὶ γὰρ ὥσπερ ὁ κιθαρίζειν μαθὼν, καὶ ἐὰν μὴ κιθαρίζῃ, κιθαριστής ἐστι· καὶ ὁ μαθὼν ἰᾶσθαι, κἂν μὴ ἰατρεύῃ, ὅμως ἰατρός ἐστιν. οὕτω καὶ ὅδε ἀπὸ τοῦδε τοῦ χρόνου διατελεῖ στρατηγὸς ὤν, κἂν μηδεὶς αὐτὸν ἕληται. ὁ δὲ μὴ ἐπιστάμενος, οὔτε στρατηγὸς οὔτε ἰατρός ἐστιν, οὐδὲ ἐὰν ὑπὸ πάντων ἀνθρώπων αἱρεθῇ. Ἀτὰρ, ἔφη, ἵνα καὶ, ἐὰν ἡμῶν τις ταξιαρχῇ ἢ λοχαγῇ σοι, ἐπιστημονέστεροι τῶν πολεμικῶν

Haec quum diceret, persuasit homini, ut ad discendum accederet. Postquam edoctus rediret, illudens ei, Annon, inquit, videtur vobis, amici, perinde atque Homerus Agamemnonem venerabilem dixit, ita etiam hic, cum imperare didicit, venerabilior videri? Etenim quemadmodum qui citharam pulsare didicit, etiamsi non pulset citharam, citharaedus est: et qui medendi artem didicit, etiamsi non medeatur, nihilominus medicus est: ita hic quoque semper ex hoc tempore imperator est, etiamsi a nemine electus fuerit. Qui vero nescit, nec imperator nec medicus est, etiamsi vel ab universis hominibus eligatur. Ut autem, ait, etiam nos, si quis forte nostrum vel cohortis praefectus

Digitized by Google

ὦμεν, λέξον ἡμῖν, πόθεν ἤρξατό σε διδάσκειν τὴν στρατηγίαν. Καὶ ὅς, Ἐκ τοῦ αὐτοῦ, ἔφη, εἰς ὅπερ καὶ ἐτελεύτα· τὰ γὰρ τακτικὰ ἐμέ γε καὶ ἄλλο οὐδὲν ἐδίδαξεν. Ἀλλὰ μὴν, ἔφη ὁ Σωκράτης, τοῦτό γε πολλοστὸν μέρος ἐστὶ στρατηγίας. καὶ γὰρ παρασκευαστικὸν τῶν εἰς τὸν πόλεμον τὸν στρατηγὸν εἶναι χρὴ, καὶ πορισστικὸν τῶν ἐπιτηδείων τοῖς στρατιώταις, καὶ μηχανικὸν, καὶ ἐργαστικὸν, καὶ ἐπιμελῆ, καὶ καρτερικὸν, καὶ ἀγχίνουν, καὶ φιλόφρονά τε καὶ ὠμὸν, καὶ ἁπλοῦν τε καὶ ἐπίβουλον, καὶ φυλακτικόν τε καὶ κλέπτην, καὶ προετικὸν καὶ ἅρπαγα, καὶ φιλόδωρον καὶ πλεονέκτην, καὶ ἀσφαλῆ καὶ ἐπιθετι-

---

vel manipuli ductor tibi fuerit, rerum bellicarum peritiores simus, dic nobis, unde coeperit te imperandi artem docere. At ille, ab illo ipso, inquit, in quod etiam desiit: nam aciei instruendae artem, atque aliud nihil me docuit. Atqui, inquit Socrates, haec artis imperatoriae pars est multesima. Nam oportet imperatorem esse peritum parandi ea quae ad bellum requiruntur, et suppeditandi necessaria militibus, et in consiliis solertem, et in labore strenuum et diligentem, et tolerantem et perspicacem, et benignum et saevum, et simplicem et insidiosum, et cautum et furem, et profusum et rapacem, et largiendi cupidum et plus habendi appetentem, et muniendi se peritum et alios aggre-

Digitized by Google

πὸν, καὶ ἄλλα πολλὰ καὶ φύσει καὶ ἐπιστήμῃ δεῖ τὸν εὖ στρατηγήσοντα ἔχειν. καλὸν δὲ καὶ τὸ τακτικὸν εἶναι. Πολὺ γὰρ διαφέρει στράτευμα τεταγμένον ἀτάκτου· ὥσπερ λίθοι τε, καὶ πλίνθοι, καὶ ξύλα, καὶ κέραμος, ἀτάκτως μὲν ἐῤῥιμμένα, οὐδὲν χρήσιμά ἐστιν· ἐπειδὰν δὲ ταχθῇ κάτω μὲν καὶ ἐπιπολῆς τὰ μήτε σηπόμενα μήτε τηπόμενα, οἵ τε λίθοι καὶ ὁ κέραμος, ἐν μέσῳ δὲ αἵ τε πλίνθοι καὶ τὰ ξύλα, ὥσπερ ἐν οἰκοδομίᾳ συντίθενται, τότε γίγνεται πολλοῦ ἄξιον κτῆμα, οἰκία. Ἀλλὰ πάνυ, ἔφη ὁ νεανίσκος, ὅμοιον, ὦ Σώκρατες, εἴρηκας. καὶ γὰρ ἐν τῷ πολέμῳ τούς τε πρώτους ἀρίστους δεῖ τάττειν καὶ τοὺς τελευταίους, ἐν μέσῳ δὲ τοὺς χει-

diendi doctum; et alia multa sunt, tum natura tum doctrina, quae illum habere oportet, qui bene imperaturus sit. Bonum vero est etiam aciei instruendae peritum esse. Nam multo differt exercitus ordinatus ab inordinato: quemadmodum lapides, et lateres, et ligna, et tegulae, si confuse disjecta sint, ad nihil utilia sunt: postquam autem ordinantur in imo ac summo ea quae neque putrescunt, neque liquescunt, ut sunt lapides ac tegulae, in medio vero lateres et ligna, sicut in aedium structura componuntur, tum efficitur res magni pretii, domus. Et adolescentulus, Dixisti, inquit, quiddam vero valde simile, mi Socrates. Nam et in bello optimos quosque primo ultimoque loco collocare oportet,

Digitized by Google

ρίστους, ἵνα ὑπὸ μὲν τῶν ἀγαθῶν ἄγωνται, ὑπὸ δὲ τῶν ὠθῶνται.

Εἰ μὲν τοίνυν, ἔφη, καὶ διαγιγνώσκειν σε τοὺς ἀγαθοὺς καὶ τοὺς κακοὺς ἐδίδαξεν· εἰ δὲ μή, τί σοι ὄφελος, ὧν ἔμαθες; οὐδὲ γὰρ, εἴ σε ἀργύριον ἐπέλευσε πρῶτον μὲν καὶ τελευταῖον τὸ κάλλιστον τάττειν, ἐν μέσῳ δὲ τὸ χείριστον, μὴ διδάξας διαγιγνώσκειν τό, τε καλὸν καὶ τὸ αἰσχρὸν, οὐδὲν ἂν σοι ὄφελος ἦν. Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἐδίδαξεν, ὥστε αὐτοὺς ἂν ἡμᾶς δέοι τούς τε ἀγαθοὺς καὶ τοὺς κακοὺς κρίνειν. Τί οὖν; σκοπῶμεν, ἔφη, πῶς ἂν αὐτῶν μὴ διαμαρτάνοιμεν; Βούλομαι, ἔφη ὁ νεανίσκος. Οὐκοῦν, ἔφη,

---

pessimos vero in media, ut ab illis ducantur, ab his impellantur.

Si quidem, ait, te docuit etiam bonos ab ignavis discernere; *bene se res habet:* sin minus, quaenam tibi utilitas eorum, quae didicisti? Nam si te argentum jusserit optimum primo ultimoque loco ponere, in medio vero pessimum, neque tamen docuerit bonum ab adulterino discernere, nullo id tibi usui fuerit. Profecto, inquit, non hoc me docuit; quamobrem nos ipsi necesse est bonos ab ignavis secernamus. Cur igitur non consideramus, ait, quo pacto in eis non fallamur? Cupio, dixit adolescentulus. Ergo, inquit, si argentum diripere oportet, annon, argenti cupidissimis primo loco dispositis,

Digitized by Google

εἰ μὲν ἀργύριον δέοι ἀρπάζειν, τοὺς φιλαργυρωτάτους πρώτους καθιστάντες, ὀρθῶς ἂν τάττοιμεν; Ἔμοιγε δοκεῖ. Τί δέ; τοὺς κινδυνεύειν μέλλοντας, ἆρα τοὺς φιλοτιμοτάτους προτακτέον; Οὗτοι γοῦν εἰσὶν, ἔφη, οἱ ἕνεκα ἐπαίνου κινδυνεύειν ἐθέλοντες. Οὐ τοίνυν οὗτοί γε ἄδηλοι, ἀλλ', ἐπιφανεῖς πανταχοῦ ὄντες, εὐαίρετοι ἂν εἶεν. Ἀτὰρ, ἔφη, πότερόν σε τάττειν μόνον ἐδίδαξεν, ἢ καὶ ὅποι καὶ ὅπως χρηστέον ἑκάστῃ τῶν taξίων; Οὐ πάνυ, ἔφη. Καὶ μὴν πολλά γ' ἐστὶ, πρὸς ἃ οὔτε τάττειν οὔτε ἄγειν ὡσαύτως προσήκει. Ἀλλὰ μὰ Δί', ἔφη, οὐδὲ διεσαφήνιζε ταῦτα. Νὴ Δί', ἔφη, πάλιν τοίνυν ἐλθὼν ἐπανερώτα. ἢν γὰρ ἐπίστηται, καὶ μὴ ἀναιδὴς

---

recte sciem instrueremus? Ita mihi videtur. Quid si eos collocare doceat in fronte, qui periculum subituri sint, nonne cupidissimos honoris praeponemus? Nam hi certe sunt, ait, qui laudis gratia periclitari volunt. Ideoque obscuri esse nequeunt, sed, utpote ubique conspicui, facile deligi poterunt. At enim utrum te solummodo ordinare docuit, an etiam ubi, et quo pacto singulis ordinibus utendum sit? Non omnino, ait. Atqui multa sunt, ad quae neque ordinare neque ducere convenit eodem modo. Ea vero, inquit, non profectò declaravit. Ergo tu, inquit, rursus accede, et interroga. Nam si quidem hoc sciat, ac impudens non sit, pu-

Digitized by Google

ἢ, αἰσχυνεῖται, ἀργύριον εἰληφὼς, ἐνδεᾶ σε ἀποπέμψασθαι.

β'. Ἐντυχὼν δέ ποτε στρατηγεῖν ἠρημένῳ τῳ, Τοῦ ἕνεκεν, ἔφη, Ὅμηρον οἴει τὸν Ἀγαμέμνονα προσαγορεῦσαι ποιμένα λαῶν; ἆρά γε ὅτι, ὥσπερ τὸν ποιμένα ἐπιμελεῖσθαι δεῖ, ὅπως σῶαί τε ἔσονται αἱ ὄϊες, καὶ τὰ ἐπιτήδεια ἕξουσιν, οὕτω καὶ τὸν στρατηγὸν ἐπιμελεῖσθαι δεῖ, ὅπως σῶοί τε οἱ στρατιῶται ἔσονται, καὶ τὰ ἐπιτήδεια ἕξουσι, καὶ οὗ ἕνεκα στρατεύονται, τοῦτο ἔσται; στρατεύονται δὲ, ἵνα κρατοῦντες τῶν πολεμίων εὐδαιμονέστεροι ὦσιν. Ἢ τί δή ποτε οὕτως ἐπῄνεσε τὸν Ἀγαμέμνονα, εἰπών·

Ἀμφότερον, βασιλεύς τ' ἀγαθὸς, κρατερός τ' αἰχμητής;

debit eum accepta pecunia te ignorantem dimisisse.

2. Cum aliquando in aliquem Imperatorem electum incidisset, Quamobrem, ait, Homerum existimas appellasse Agamemnonem pastorem populorum? an ideo, quod quemadmodum pastorem in hoc curam adhibere oportet, ut oves et salvae sint, et victum habeant: ita etiam imperatori curandum sit, ut milites sint salvi, et victum habeant; et id ipsum eis sit, cujus causa militant? Militant autem, ut hostibus victis beatiores sint. Cur etiam ita laudavit Agamemnonem, dicens:

Utrumque Rexque bonus, fortisque bellator?

Digitized by Google

Ἀρά γε ὅτι αἰχμητής τε κρατιστεὺς ἂν εἴη, οὐκ εἰ μόνος αὐτὸς εὖ ἀγωνίζοιτο πρὸς τοὺς πολεμίους, ἀλλ' εἰ καὶ παντὶ τῷ στρατοπέδῳ τούτου αἴτιος εἴη; καὶ βασιλεὺς ἀγαθὸς, οὐκ εἰ μόνον τοῦ ἑαυτοῦ βίου καλῶς προεστήκοι, ἀλλ' εἰ καὶ, ὧν βασιλεύοι, τούτοις εὐδαιμονίας αἴτιος εἴη; Καὶ γὰρ βασιλεὺς αἱρεῖται, οὐχ ἵνα ἑαυτοῦ κωλῶς ἐπιμελῆται, ἀλλ' ἵνα καὶ οἱ ἑλόμενοι διὰ τοῦτον εὖ πράττωσι. καὶ στρατεύονται δὲ πάντες, ἵνα ὁ βίος αὐτοῖς ὡς βέλτιστος ᾖ· καὶ στρατηγοὺς αἱροῦνται τούτου ἕνεκα, ἵνα πρὸς τοῦτο αὐτοῖς ἡγεμόνες ὦσι. Δεῖ οὖν τὸν στρατηγοῦντα τοῦτο παρασκευάζειν τοῖς ἑλομένοις αὐτὸν στρατηγόν. καὶ γὰρ οὔτε κάλλιον τούτου

Annon propterea quod tum demum aliquis bellator etiam acris sit, non si solus ipse acriter luctetur adversus hostes, sed etiam si universo exercitui ejusdem auctor sit? Quodque rex bonus, non si suae tantum vitae bene praesit, sed iis etiam, quibus imperat, auctor felicitatis sit? Nam rex eligitur, non ut praeclare sui ipsius curam habeat, sed ut illi etiam, qui eum elegerunt, per ipsum bene agant. Et militant omnes, ut vita illis quam felicissima sit: et imperatores propterea deligunt, ut eis ad hoc duces sint. Itaque debet is, qui imperat, hoc illis procurare, qui eum imperatorem elegerunt. Nec enim proclive est quidquam hoc pulchrius in-

Digitized by Google

ἄλλο ῥᾴδιον εὑρεῖν, οὔτε αἴσχιον τοῦ ἐναντίου. Καὶ οὕτως ἐπισκοπῶν, τίς εἴη ἀγαθοῦ ἡγεμόνος ἀρετὴ, τὰ μὲν ἄλλα περιήρει, παρέλειπε δὲ, τὸ εὐδαίμονας ποιεῖν, ὧν ἂν ἡγῆται.

γ'. Καὶ ἱππαρχεῖν δέ τινι ἠρημένῳ οἶδά ποτε αὐτὸν τοιάδε διαλεχθέντα. Ἔχοις ἄν, ἔφη, ὦ νεανία, εἰπεῖν ἡμῖν, ὅτου ἕνεκα ἐπεθύμησας ἱππαρχεῖν; οὐ γὰρ δὴ τοῦ πρῶτος τῶν ἱππέων ἐλαύνειν. καὶ γὰρ οἱ ἱπποτοξόται τούτου γε ἀξιοῦνται· προελαύνουσι γοῦν καὶ τῶν ἱππάρχων. Ἀληθῆ λέγεις, ἔφη. Ἀλλὰ μὴν οὐδὲ τοῦ γνωσθῆναί γε· ἐπεὶ καὶ οἱ μαινόμενοί γε ὑπὸ πάντων γιγνώσκονται. Ἀληθές, ἔφη, καὶ τοῦτο λέγεις. Ἀλλ' ἆρα

venire, vel contrario turpius. Atque ita considerans, quae boni ducis esset virtus, caetera quidem auferebat, hoc solo relicto, ut illos, quibus praeesset, beatos reddat.

3. Memini etiam ipsum aliquando ita ad quendam disseruisse, qui ut copiis equestribus praeesset, electus erat. Potesne dicere nobis, mi adolescentule, quamobrem equitibus praeesse concupiveris? Non enim ideo certe, ut equitum primus ipse equitares. Nam equites sagittarii illo dignantur, qui quidem etiam praefectos equitum praecedunt. Vere dicis, ait. Enimvero ne ideo quidem, ut notus esses: nam et animo insani omnibus noti sunt. Hoc etiam, inquit, vere dictum. Num igitur propterea, quod equestres copias

Digitized by Google

ὅτι τὸ ἱππικὸν οἴει τῇ πόλει βέλτιον ἂν ποιήσας παραδοῦναι, καὶ εἴ τις χρεία γίγνοιτο ἱππέων, τούτων ἡγούμενος, ἀγαθοῦ τινος αἴτιος γενέσθαι τῇ πόλει; Καὶ μάλα, ἔφη. Καὶ ἔστι γε νὴ Δί', ἔφη ὁ Σωκράτης, καλὸν, ἐὰν δύνῃ ταῦτα ποιῆσαι. ἡ δὲ ἀρχή που, ἐφ' ἧς ἤρησαι, ἵππων τε καὶ ἀμβατῶν ἐστιν. Ἔστι γὰρ οὖν, ἔφη.

Ἴθι δὴ λέξον ἡμῖν πρῶτον τοῦτο, ὅπως διαφῇ τοὺς ἵππους βελτίους ποιῆσαι; Καὶ ὅς, Ἀλλὰ τοῦτο μὲν, ἔφη, οὐκ ἐμὸν οἶμαι τὸ ἔργον εἶναι, ἀλλὰ ἰδίᾳ ἕκαστον δεῖν τοῦ ἑαυτοῦ ἵππου ἐπιμελεῖσθαι. Ἐὰν οὖν, ἔφη ὁ Σωκράτης, παρέχωνταί σοι τοὺς ἵππους, οἱ μὲν οὕτω κακόποδας, ἢ κακοσκελεῖς, ἢ ἀσ-

reipublicae te meliores effectas traditurum existimas? atque ut, si forte opus fuerit equitibus, iis ita praesis, ut civitati boni alicujus auctor sis? Omnino, inquit. Praeclarum profecto quiddam hoc fuerit, ait Socrates, si praestare possis. Imperium vero, in quod electus es, equorum est et equitum. Ita scilicet est, inquit.

Age igitur, hoc primum nobis dicito, quo pacto equos te praestantissimos effecturum cogites? Et ille, Puto equidem, ait, meum non esse hoc munus, sed privatim unumquemque oportere equum suum curare. Ergo si tibi, inquit Socrates, equos exhibeant alii tam vitiatis pedibus, tam aegris cruribus, tam imbecil-

Digitized by Google

θυνεῖς, οἱ δὲ οὕτως ἀτρόφους, ὥστε μὴ δύνασθαι ἀπολουθεῖν, οἱ δὲ οὕτως ἀναγώγους, ὥστε μὴ μένειν, ὅπου ἂν σὺ τάξῃς, οἱ δὲ οὕτω λακτιστὰς, ὥστε μηδὲ τάξαι δυνατὸν εἶναι, τί σοι τοῦ ἱππικοῦ ὄφελος ἔσται; ἢ πῶς δυνήσῃ τοιούτων ἡγούμενος ἀγαθόν τι ποιῆσαι τὴν πόλιν; Καὶ ὅς, Ἀλλὰ καλῶς τε λέγεις, ἔφη, καὶ πειράσομαι τῶν ἵππων εἰς τὸ δυνατὸν ἐπιμελεῖσθαι.

Τί δέ; τοὺς ἱππέας οὐκ ἐπιχειρήσεις, ἔφη, βελτίονας ποιῆσαι; Ἔγωγε, ἔφη. Οὐκοῦν πρῶτον μὲν ἀναβατικωτέρους ἐπὶ τοὺς ἵππους ποιήσεις αὐτούς; Δεῖ γοῦν, ἔφη· καὶ γὰρ, εἴ τις αὐτῶν κατατίσοι, μᾶλλον ἂν οὕτω σώζοιτο. Τί γάρ; ἐάν του κινδυνεύειν δέῃ,

---

les, alii tam strigosos, ut sequi non possint; alii tam contumaces, ut quo tu eos loco constitueris, manere nolint; alii tam calcitrosos, ut ne constitui quidem alicubi possint: quinam tibi hujusce equitatus erit usus? aut quomodo poteris, dum talibus praees, civitatem bono aliquo afficere? Tum ille, Praeclare mones, inquit; conabor equidem pro meis viribus equorum habere curam.

Quid autem? non operam dabis, inquit, ut equites meliores efficias? Equidem, inquit. Ergo primum hoc efficies, ut in equos ascendendi sint peritiores. Hoc quidem necesse est, inquit. Nam si quis eorum decideret, multo magis hoc modo salvus evaserit. Quid vero? sicubi pe-

Digitized by Google

πότερον ἐπάγειν τοὺς πολεμίους ἐπὶ τὴν ἄμμον κελεύσεις, ἔνθαπερ εἰώθατε ἱππεύειν, ἢ πειράσῃ τὰς μελέτας ἐν τοιούτοις ποιεῖσθαι χωρίοις, ἐν οἵοισπερ οἱ πολέμιοι γίγνονται; Βέλτιον γοῦν, ἔφη. Τί γάρ; τοῦ βάλλειν, ὡς πλείστους ἀπὸ τῶν ἵππων ἐπιμέλειάν τινα ποιήσῃ; Βέλτιον γοῦν, ἔφη, καὶ τοῦτο. Θήγειν δὲ τὰς ψυχὰς τῶν ἱππέων καὶ ἐξοργίζειν πρὸς τοὺς πολεμίους, ἆρα ἀλκιμωτέρους ποιεῖ, διανενόησαι; Εἰ δὲ μὴ, ἀλλὰ νῦν γε πειράσομαι, ἔφη.

Ὅπως δέ σοι πείθωνται οἱ ἱππεῖς, σκέπτεταί τι; ἄνευ γὰρ δὴ τούτου οὔτε ἵππων οὔτε ἱππέων ἀγαθῶν καὶ ἀλκίμων οὐδὲν ὄφελος. Ἀληθῆ λέγεις, ἔφη. ἀλλὰ πῶς ἄν τις μά-

---

riculum subeundum est, utrum hostes ad arenam jubebis adducere, ubi vos equitare consuevistis, an operam dabis, ut iis in locis tales exercitationes instituantur, in quibus hostes esse solent? Melius hoc sane fuerit, inquit. Quid autem? num ut quamplurimi ab equis dejiciantur, curae tibi erit? Hoc quoque melius fuerit, ait. Etiam ut acuantur animi equitum, et irritentur adversus hostem, si quando hoc fortiores ipsos reddere animadvertisti? Si non hactenus, saltem nunc id aggrediar, inquit.

Ecquid vero curasti, ut tibi pareant equites? Nam absque illo, nec equorum, nec equitum bonorum ac fortium usus ullus erit. Vere dicis, ait; sed qua potissimum ratione, mi Socrates, ad hoc quis eos im-

Digitized by Google

λιστα, ὦ Σώκρατες, ἐπὶ τοῦτο αὐτοὺς προτρέψαιτο; Ἐκεῖνο μὲν δήπου οἶσθα, ὅτι ἐν παντὶ πράγματι οἱ ἄνθρωποι τούτοις μάλιστα ἐθέλουσι πείθεσθαι, οὓς ἂν ἡγῶνται βελτίστους εἶναι. καὶ γὰρ ἐν νόσῳ, ὃν ἂν ἡγῶνται ἰατρικώτατον εἶναι, τούτῳ μάλιστα πείθονται· καὶ ἐν πλοίῳ οἱ πλέοντες, ὃν ἂν κυβερνητικώτατον· καὶ ἐν γεωργίᾳ, ὃν ἂν γεωργικώτατον. Καὶ μάλα, ἔφη. Οὐκοῦν εἰκὸς, ἔφη, καὶ ἐν ἱππικῇ, ὃς ἂν μάλιστα εἰδὼς φαίνηται ἃ δεῖ ποιεῖν, τούτῳ μάλιστα ἐθέλειν τοὺς ἄλλους πείθεσθαι. Ἐὰν οὖν, ἔφη, ἐγὼ, ὦ Σώκρατες, βέλτιστος ὢν αὐτῶν δῆλος ὦ, ἀρκέσει μοι τοῦτο εἰς τὸ πείθεσθαι αὐτοὺς ἐμοί; Ἐάν γε πρὸς τοῦτο, ἔφη, διδάξῃς αὐτοὺς,

---

pulerit? Nimirum nosti, quavis in re parere homines his maxime velle, quoscunque existimant esse praestantissimos. Nam in morbo potissimum huic parent, quemcunque medicae rei putant esse peritissimum; et in navi qui navigant, huic, quemcunque gubernandi peritissimum; et in agricultura, quemcunque agri colendi peritissimum. Omnino, inquit. Igitur consentaneum est, etiam in equestri re caeteros huic quicunque maxime scire videatur quae facienda sint, maxime paricturos. Itaque si ego, inquit, ni Socrates, praestantissimus eorum apparerem, num ad hoc mihi sufficiet illud, ut mihi pareant? Si quidem praeteres, inquit, docueris eos,

Digitized by Google

ὡς τὸ πείθεσθαί σοι, κάλλιόν τε καὶ σωτηριώτερον αὐτοῖς ἔσται. Πῶς οὖν, ἔφη, τοῦτο διδάξω; Πολὺ νὴ Δί', ἔφη, ῥᾷον, ἢ εἴ σε δέοι διδάσκειν, ὡς τὰ κακὰ τῶν ἀγαθῶν ἀμείνω καὶ λυσιτελέστερά ἐστι.

Λέγεις, ἔφη, σὺ, τὸν ἵππαρχον πρὸς τοῖς ἄλλοις ἐπιμελεῖσθαι δεῖν καὶ τοῦ λεγεῖν δύνασθαι; Σὺ δ' ὤου, ἔφη, χρῆναι σιωπῇ ἱππαρχεῖν; ἢ οὐκ ἐντεθύμησαι, ὅτι ὅσα τε νόμῳ μεμαθήκαμεν κάλλιστα ὄντα, δι' ὧν γε ζῆν ἐπιστάμεθα, ταῦτα πάντα διὰ λόγου ἐμάθομεν, καὶ εἴ τι ἄλλο καλὸν μανθάνει τις μάθημα, διὰ λόγου μανθάνει, καὶ οἱ ἄριστα διδάσκοντες μάλιστα λόγῳ χρῶνται, καὶ οἱ τὰ σπουδαιότατα μάλιστα ἐπιστάμενοι κάλλισ-

---

fore melius ipsis ac salutarius, si tibi obtemperent. At quo pacto, inquit, hoc docebo? Multo facilius profecto, quam si docere te oporteat, mala meliora esse bonis atque utiliora.

Dicis tu, inquit, debere praefectum equitum praeter alia curam adhibere, ut etiam dicendi facultatem habeat? Tu vero existimabas, inquit, oportere silentio equitibus imperare? Annon tecum cogitasti, nos ea universa, quaecunque optima lege didicimus, et per quae vivendi modum tenemus, orationis ope didicisse, et si quam aliam bonam disciplinam aliquis discat, orationis ope discere; quodque doctores optimi sermone imprimis utantur, et qui dignissima cognitione tenent, pulcherrime

Digitized by Google

τα διαλέγονται; Ἦ τόδε οὐκ ἐντεθύμησαι, ὡς, ὅταν γε χορὸς εἷς ἐκ τῆσδε τῆς πόλεως γίγνηται, ὥσπερ ὁ εἰς Δήλον πεμπόμενος, οὐδεὶς ἄλλοθεν οὐδαμόθεν τούτῳ ἐφάμιλλος γίγνεται, οὐδὲ εὐανδρία ἐν ἄλλῃ πόλει ὁμοία τῇ ἐνθάδε συνάγεται; Ἀληθῆ λέγεις, ἔφη. Ἀλλὰ μὴν οὔτε εὐφωνίᾳ τοσοῦτον διαφέρουσιν Ἀθηναῖοι τῶν ἄλλων, οὔτε σωμάτων μεγέθει καὶ ῥώμῃ, ὅσον φιλοτιμίᾳ, ἥπερ μάλιστα παροξύνει πρὸς τὰ καλὰ καὶ ἔντιμα. Ἀληθῆ, ἔφη, καὶ τοῦτο. Οὐκοῦν οἴει, ἔφη, καὶ τοῦ ἱππικοῦ τοῦ ἐνθάδε εἴ τις ἐπιμεληθείη, ὡς πολὺ ἂν καὶ τοῦτο διενέγκοιεν τῶν ἄλλων, ὅπλων τε καὶ ἵππων παρασκευῇ, καὶ

---

disserant? An id nunquam animadvertisti, quod quum chorus unus ex hac civitate efficitur, verbi causa, qui in Delum mittitur, nullus aliunde huic aequalis instituatur; quodque tanta virorum praestantia in alia civitate nulla cogatur, quanta huic nostrae comparetur? Vere dicis, ait. Atqui neque vocis elegantia tantum praestant Athenienses aliis, neque corporum magnitudine ac robore, quantum honoris studio, quod maxime ad praeclara et honorifica homines excitat. Etiam hoc, ait, verum est. Ergone putas, inquit, etiam equestres copias, quae hic sunt, si quis diligenter curet, longe praestaturas aliis armorum equorumque apparatu, ac ordine, et prompte pericula adversus hostes subeundo, si ex-

Digitized by Google

εὐταξία, καὶ τῷ ἑτοίμως κινδυνεύειν πρὸς τοὺς πολεμίους, εἰ νομίσειαν ταῦτα ποιοῦντες ἐπαίνου καὶ τιμῆς τεύξεσθαι; Εἰκός γε, ἔφη. Μὴ τοίνυν ὄκνει, ἔφη, ἀλλὰ πειρῶ τοὺς ἄνδρας ἐπὶ ταῦτα προτρέπειν, ἀφ' ὧν αὐτός τε ὠφεληθήσῃ, καὶ οἱ ἄλλοι πολῖται διὰ σέ. Ἀλλὰ νὴ Δία πειράσομαι, ἔφη.

δ'. Ἰδὼν δέ ποτε Νικομαχίδην ἐξ ἀρχαιρεσιῶν ἀπιόντα, ἤρετο· Τίνες, ὦ Νικομαχίδη, στρατηγοὶ ἥρηνται; Καὶ ὅς, Οὐ γάρ, ἔφη, ὦ Σώκρατες, τοιοῦτοί εἰσιν Ἀθηναῖοι, ὥστε ἐμὲ μὲν οὐχ εἵλοντο, ὃς ἐκ καταλόγου στρατευόμενος κατατέτριμμαι, καὶ λοχαγῶν, καὶ ταξιαρχῶν, καὶ τραύματα ὑπὸ τῶν πολεμίων τοσαῦτα ἔχων· (ἅμα δὲ

istimarent, haec facientes, se laudem ac gloriam consequuturos? Hoc quidem est consentaneum, inquit. Ergo ne cuncteris, ait, sed operam dato, ut homines ad ea propellas, de quibus et tibi et caeteris propter te civibus utilitas erit. Equidem hoc profecto conabor, inquit.

4. Quum autem aliquando Nicomachidem abeuntem e comitiis vidisset, interrogabat: Quinam, mi Nicomachides, imperatores electi sunt? Et ille, Annon tales sunt, ait, Athenienses, mi Socrates, ut me quidem non elegerint, qui ex delectus tabellis militans tum manipulos ducendo, tum cohortibus imperando, tum vulnera tot ab hostibus accipiendo, (simul se denudans, vulnerum cicatrices ostendebat) jam

Digitized by Google

τὰς οὐλὰς τῶν τραυμάτων ἀπογυμνούμενος ἐπεδείκνυεν) Ἀντισθένην δὲ, ἔφη, εἵλοντο, τὸν οὔτε ὁπλίτην πώποτε στρατευσάμενον, ἔν τε τοῖς ἱππεῦσιν οὐδὲν περίβλεπτον ποιήσαντα, ἐπιστάμενόν τε ἄλλο οὐδὲν ἢ χρήματα συλλέγειν; Οὐκοῦν, ἔφη ὁ Σωκράτης, τοῦτο μὲν ἀγαθὸν, εἴ γε τοῖς στρατιώταις ἱκανὸς ἔσται τὰ ἐπιτήδεια πορίζειν. Καὶ γὰρ οἱ ἔμποροι, ἔφη ὁ Νικομαχίδης, χρήματα συλλέγειν ἱκανοί εἰσιν· ἀλλ' οὐχ ἕνεκα τούτου καὶ στρατηγεῖν δύναιντ' ἄν. Καὶ ὁ Σωκράτης ἔφη, Ἀλλὰ καὶ φιλόνικος Ἀντισθένης ἐστὶν, ὃ στρατηγῷ προσεῖναι ἐπιτήδειόν ἐστιν. οὐχ ὁρᾷς, ὅτι καὶ ὁσάκις κιχορήγησε, πᾶσι τοῖς

---

confectus sum: Antisthenem vero elegerunt, qui neque pedes unquam militavit, neque inter equites quidquam illustre gessit, nihilque aliud novit, nisi pecuniam colligere? Bonum vero id fuerit, inquit Socrates, posse militibus ipsum necessaria suppeditare. Enimvero, inquit Nicomachides, etiam mercatores pecuniam possunt colligere; neque tamen idcirco etiam imperatoris munere fungi possunt. Etiam victoriae cupidus est Antisthenes, ait Socrates, quod in imperatore necessario requiritur. Annon vides eum, quoties chori dux fuit, omnibus choris vicisse? Profecto, inquit Nicomachides, nihil similitudinis habet chori et exercitus praefectura. Atqui, ait Socrates, quum neque canendi, neque doctrinae chororum peritus esset Antisthenes, tamen

Digitized by Google

χοροῖς νενίκηκε; Μὰ Δί', ἔφη ὁ Νικομαχίδης, ἀλλ' οὐδὲν ἧττον ἐστὶ χοροῦ τε καὶ στρατεύματος προεστάναι. Καὶ μὴν, ἔφη ὁ Σωκράτης, οὐδὲ ᾠδῆς γε ὁ Ἀντισθένης, οὐδὲ χορῶν διδασκαλίας ἔμπειρος ὢν, ὅμως ἐγένετο ἱκανὸς εὑρεῖν τοὺς κρατίστους ταῦτα. Καὶ ἐν τῇ στρατιᾷ οὖν, ἔφη ὁ Νικομαχίδης, ἄλλους μὲν εὑρήσει τοὺς τάξοντας ἀπ' ἐαυτοῦ, ἄλλους δὲ τοὺς μαχομένους. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, ἐάν γε καὶ ἐν τοῖς πολεμικοῖς τοὺς κρατίστους, ὥσπερ ἐν τοῖς χορικοῖς, ἐξευρίσκῃ τε καὶ προαιρῆται, εἰκότως ἂν καὶ τούτου νικηφόρος εἴη· καὶ δαπανᾷν δ' αὐτὸν εἰκὸς μᾶλλον ἂν ἐθέλειν εἰς τὴν ξὺν ὅλῃ τῇ πάλει τῶν πολεμικῶν νίκην, ἢ εἰς τὴν ξὺν τῇ φυλῇ τῶν χορικῶν. Λέγεις σὺ, ἔφη, ὦ Σώκρατες,

potuit reperire eos, qui in his optimi essent. Ergo et in exercitu, inquit Nicomachides, alios inveniet, qui ejus loco aciem struent, alios, qui pugnabunt. Nimirum, ait Socrates, si etiam in rebus bellicis praestantissimos quosque perinde ac in iis, quae ad chorum pertinent, repererit, ac prae aliis delegerit, consentaneum est, eum hac quoque in parte victoriam reportaturum. Etiam credi par est, eum plus velle impendere in hanc rerum bellicarum victoriam cum civitate universa reportandam, quam in victoriam cheri cum tribu sua partam. Ain' tu, mi Socrates, inquit, ejusdem esse hominis, recte et choro et exercitui praeesse? Aio equidem,

ὡς τοῦ αὐτοῦ ἀνδρός ἐστι χορηγεῖν τε καλῶς καὶ στρατηγεῖν; Λέγω ἔγωγ', ἔφη, ὡς, ὅτου ἄν τις προστατεύῃ, ἐὰν γιγνώσκῃ τε ὧν δεῖ, καὶ ταῦτα πορίζεσθαι δύνηται, ἀγαθὸς ἂν εἴη προστάτης, εἴτε χοροῦ, εἴτε οἴκου, εἴτε πόλεως, εἴτε στρατεύματος προστατεύοι.

Καὶ ὁ Νικομαχίδης, Μὰ Δί, ἔφη, ὦ Σώκρατες, οὐκ ἄν ποτε ᾠμην ἐγώ σου ἀκοῦσαι, ὡς ἀγαθοὶ οἰκονόμοι ἀγαθοὶ στρατηγοὶ ἂν εἶεν. Ἴθι δή, ἔφη, ἐξετάσωμεν τὰ ἔργα ἑκατέρου αὐτῶν, ἵνα εἰδῶμεν, πότερον τὰ αὐτά ἐστιν, ἢ διαφέρει τι. Πάνυ γε, ἔφη. Οὐκοῦν, ἔφη, τὸ μὲν τοὺς ἀρχομένους κατηκόους τε καὶ εὐπειθεῖς ἑαυτοῖς παρασκευάζειν, ἀμφοτέρων ἐστὶν ἔργον; Καὶ μάλα, ἔφη. Τί

inquit, illum qui sciat quibus sit opus, eaque comparare possit, cuicunque rei praesit, bonum praefectum esse; seu choro, seu familiae, seu civitati, seu exercitui praesit.

Profecto, ait Nicomachides, nunquam ex te auditurum me arbitrabar, mi Socrates, bonos patres-familias etiam bonos fore imperatores. Age igitur, inquit, utriusque officia indagemus, ut sciamus, eademne sint an diversa. Omnino, ait. Annon igitur utriusque officium est, ut imperio suo subjectos sibi morigeros et obsequentes reddat? Maxime, inquit. Quid? annon ut idoneis imperent ea facere, quae oportet? Et hoc, inquit. Etiam illud utrique convenire arbitror, ut malos puniant, et honore afficiant bonos. Prorsus ita est, ait. Subditos autem benevolos reddere, qui non utrique

Digitized by Google

δέ; τὸ προστάττειν ἕκαστα τοῖς ἐπιτηδείοις πράττειν; Καὶ τοῦτο, ἔφη. Καὶ μὴν καὶ τὸ τοὺς κακοὺς κολάζειν, καὶ τοὺς ἀγαθοὺς τιμᾶν, ἀμφοτέροις οἶμαι προσήκειν. Πάνυ μὲν οὖν, ἔφη. Τὸ δὲ τοὺς ὑπηκόους εὐμενεῖς ποιεῖσθαι, πῶς οὐ καλὸν ἀμφοτέροις; Καὶ τοῦτ', ἔφη. Συμμάχους δὲ καὶ βοηθοὺς προσάγεσθαι, δοκεῖ σοι συμφέρειν ἀμφοτέροις, ἢ οὔ; Πάνυ μὲν οὖν, ἔφη. Ἀλλὰ φυλακτικοὺς τῶν ὄντων οὐκ ἀμφοτέρους εἶναι προσήκει; Σφόδρα γ', ἔφη. Οὐκοῦν καὶ ἐπιμελεῖς καὶ φιλοπόνους ἀμφοτέρους εἶναι προσήκει περὶ τὰ αὐτῶν ἔργα.

Ταῦτα μὲν οὖν, ἔφη, πάντα ὁμοίως ἀμφοτέρων ἐστίν· ἀλλὰ τὸ μάχεσθαι, οὐκέτι ἀμφοτέρων. Ἀλλ' ἐχθροί γε τοὶ ἀμφοτέροις

fuerit honestum? Ita est, inquit. Ut socios et auxiliatores adsciscant, num utrique putas expedire, necne? Omnino, inquit. Nonne ad res suas custodiendas utrumque idoneum esse convenit? Maxime, inquit. Ergo et diligentem et industrium in officiis suis oportet esse utrumque.

Haec quidem omnia, inquit, pariter utriusque sunt officia: verum pugnare, non est utriusque. Annon utrique hostes sunt? Maxime, inquit. Ergone utrique expedit, ut his superior evadat? Omnino, inquit. Verum, praetermisso illo, si pugnandum sit, quid rei familiaris administrandae ratio proderit? Ibidem etiam plurimum, inquit: nam bonus pa-

Digitized by Google

φίγγονται; Καὶ μάλα, ἔφη, τοῦτό γε. Οὐκοῦν τὸ περιγιγνέσθαι τούτων ἀμφοτέροις συμφέρει; Πάνυ γ', ἔφη. Ἀλλ' ἐκεῖνο παρεῖς, ἂν δέῃ μάχεσθαι, τί ὠφελήσει ἡ οἰκονομική; Ἐνταῦθα δήπου καὶ πλεῖστον, ἔφη· ὁ γὰρ ἀγαθὸς οἰκονόμος, εἰδὼς ὅτι οὐδὲν οὕτω λυσιτελές τε καὶ κερδαλέον ἐστὶν, ὡς τὸ μαχόμενον τοὺς πολεμίους νικᾷν, οὐδὲ οὕτως ἀλυσιτελές τε καὶ ζημιῶδες ὡς τὸ ἡττᾶσθαι, προθύμως μὲν τὰ πρὸς τὸ νικᾷν συμφέροντα ζητήσει καὶ παρασκευάσεται, ἐπιμελῶς δὲ τὰ πρὸς τὸ ἡττᾶσθαι φέροντα σκέψεται καὶ φυλάξεται· ἐνεργῶς δ', ἂν τὴν παρασκευὴν ὀρθὴν νικητικὴν οὖσαν, μαχεῖται· οὐχ ἥκιστα δὲ τούτων, ἐὰν ἀπαράσκευος ᾖ, φυλάξεται συνάπτειν μάχην. Μὴ καταφρόνει, ἔφη, ὦ Νικομαχίδη,

---

ter-familias, cum sciat, nihil adeo utile ac fructuosum esse, ac pugnando hostes vincere, neque quidquam esse tam inutile et damnosum, ac superari; prompte quae ad vincendum conducunt, quaeret et parabit; ac diligenter considerabit et cavebit, quae ad hoc faciunt, ut vincantur: quumque videbit apparatum ad victoriam idoneum esse, viriliter dimicabit; at si imparatus fuerit, praelium ne conserat, haud minus cavebit. Ne tu, mi Nicomachides, inquit, homines familiaris rei administrandae peritos contempseris. Nam cura rerum privatarum tantum a publicarum cura differt multi-

Digitized by Google

τῶν οἰκονομικῶν ἀνδρῶν. ἡ γὰρ τῶν ἰδίων ἐπιμέλεια πλήθει μόνον διαφέρει τῆς τῶν κοινῶν, τὰ δὲ ἄλλα παραπλήσια ἔχει· τὸ μέγιστον, ὅτι οὔτε ἄνευ ἀνθρώπων οὐδετέρα γίγνεται, οὔτε δι' ἄλλων μὲν ἀνθρώπων τὰ ἴδια πράττεται, δι' ἄλλων δὲ τὰ κοινά· οὐ γὰρ ἄλλοις τισὶν ἀνθρώποις οἱ τῶν κοινῶν ἐπιμελόμενοι χρῶνται, ἢ οἵπερ οἱ τὰ ἴδια οἰκονομοῦντες, οἷς οἱ ἐπιστάμενοι χρῆσθαι, καὶ τὰ ἴδια καὶ τὰ κοινὰ καλῶς πράττουσιν, οἱ δὲ μὴ ἐπιστάμενοι, ἀμφοτέρωθι πλημμελοῦσιν.

5. Περικλεῖ δέ ποτε, τῷ τοῦ πάνυ Περικλέους υἱῷ, διαλεγόμενος, Ἐγώ τοι, ἔφη, ὦ Περίκλεις, ἐλπίδα ἔχω, σοῦ στρατηγήσαντος ἀμείνω τε καὶ ἐνδοξοτέραν τὴν πόλιν εἰς τὰ πολεμικὰ ἔσεσθαι, καὶ τῶν πολεμίων κρατή-

tudine; caetera consimiles sunt. Quodque maximum est, neutra fit absque hominibus; neque per alios quidem homines privatae, per alios autem publicae res tractantur. Nam qui publica procurant, non aliis utuntur hominibus, quam quibus illi qui privata administrant; quibus qui norunt uti, tum privatas tum publicas res bene tractant: qui vero ignorant, utrinque peccant.

5. Quum etiam aliquando cum Pericle, Periclis illius clarissimi filio dissereret, Equidem, mi Pericles, ait, spero, te imperatore, meliorem honorabilioremque civitatem in rebus bellicis fore, hostesque superaturam. Velim, mi Socrates, inquit, quae tu narras: verum

σειν. Καὶ ὁ Περικλῆς, Βουλοίμην ἄν, ἔφη, ὦ Σώκρατες, ἃ λέγεις· ὅπως δὲ ταῦτα γένοιτ' ἄν, οὐ δύναμαι γνῶναι. Βούλει οὖν, ἔφη ὁ Σωκράτης, διαλογιζόμενοι περὶ αὐτῶν ἐπισκοπῶμεν, ὅπου ἤδη τὸ δυνατόν ἐστιν; Βούλομαι, ἔφη. Οὐκοῦν οἶσθα, ἔφη, ὅτι πλήθει μὲν οὐδὲν μείους εἰσὶν Ἀθηναῖοι Βοιωτῶν; Οἶδα γάρ, ἔφη. Σώματα δὲ ἀγαθὰ καὶ καλὰ πότερον ἐκ Βοιωτῶν οἴει πλείω ἂν ἐκλεχθῆναι, ἢ ἐξ Ἀθηναίων; Οὐδὲ ταύτῃ μοι δοκοῦσι λείπεσθαι. Εὐμενεστέρους δὲ ποτέρους ἑαυτοῖς εἶναι νομίζεις; Ἀθηναίους ἔγωγε. Βοιωτῶν μὲν γὰρ πολλοὶ πλεονεκτούμενοι ὑπὸ Θηβαίων δυσμενῶς αὐτοῖς ἔχουσιν. Ἀθήνῃσι δὲ οὐδὲν ὁρῶ τοιοῦτον. Ἀλλὰ

---

quo pacto fieri possint, intelligere nequeo. Vis igitur, ait Socrates, de his disputando consideremus, quo pacto fieri possint? Volo, inquit. Annon igitur, ait *Socrates*, Athenienses multitudine Boeotis nequaquam inferiores esse? Novi, inquit *Pericles*. S. Utrum vero putas plura bona pulchraque corpora deligi de Boeotis posse, an Athenis? P. Nec in hac quidem parte mihi videntur inferiores esse. S. Utros autem putas magis esse erga se invicem benevolos? P. Athenienses equidem: nam plerique Boeotorum, quod a Thebanis molestentur, male erga ipsos affecti sunt: Athenis nihil ejusmodi video. S. Et honoris etiam cupidissimi

μὴν φιλοτιμότατοί γε καὶ φιλοφρονέστατοι πάντων εἰσὶν, ἅπερ οὐχ ἥκιστα παροξύνει κινδυνεύειν ὑπὲρ εὐδοξίας τε καὶ πατρίδος. Οὐδὲ ἐν τούτοις Ἀθηναῖοι μεμπτοί. Καὶ μὴν προγόνων γε καλὰ ἔργα οὐκ ἔστιν οἷς μείζω καὶ πλείω ὑπάρχει, ἢ Ἀθηναίοις· ᾧ πολλοὶ ἐπαιρόμενοι προτρέπονταί τε ἀρετῆς ἐπιμελεῖσθαι, καὶ ἄλκιμοι γίγνεσθαι. Ταῦτα μὲν ἀληθῆ λέγεις πάντα, ὦ Σώκρατες· ἀλλ' ὁρᾷς, ὅτι ἀφ' οὗ ἥ τε σὺν Τολμίδῃ τῶν χιλίων ἐν Λεβαδείᾳ συμφορὰ ἐγένετο, καὶ ἡ μεθ' Ἱπποκράτους ἐπὶ Δηλίῳ, ἐκ τούτων τετταπείνωται μὲν ἡ τῶν Ἀθηναίων δόξα πρὸς τοὺς Βοιωτούς, ἐπῆρται δὲ τὸ τῶν Θηβαίων φρόνημα πρὸς τοὺς Ἀθηναίους· ὥστε Βοιωτοὶ

---

sunt, omniumque amicissimi, quae non parum excitant homines, ut pro gloria patriaque periculum adeant. P. Nec in hoc quidem Athenienses reprehendi possunt. S. Majorum quidem praeclara facinora nulli nec insigniora nec plura habent, quam Athenienses: quo multi accensi excitantur ad exercendam virtutem ac fortitudinem. P. Vere tu quidem dicis haec omnia, mi Socrates: sed ex quo illa mille militum strages cum Tolmida apud Lebadiam facta est, illaque ad Delium cum Hippocrate, inde Atheniensium gloria apud Boeotos imminuta est; ita vero Thebanorum animi adversus Athenienses elati sunt, ut jam Boeoti, qui antea ne suis qui-

Digitized by Google

μὲν, οἱ πρόσθεν οὐδ' ἐν τῇ ἑαυτῶν τολμῶντες Ἀθηναίοις ἄνευ Λακεδαιμονίων τε καὶ τῶν ἄλλων Πελοποννησίων ἀντιτάττεσθαι, νῦν ὑπειλοῦσιν αὐτοὶ καθ' αὑτοὺς ἐμβαλεῖν εἰς τὴν Ἀττικήν, Ἀθηναῖοι δὲ, οἱ πρότερον, ὅτε Βοιωτοὶ μόνοι ἐγένοντο, ταρβοῦντες τὴν Βοιωτίαν, φοβοῦνται μὴ Βοιωτοὶ δηώσωσι τὴν Ἀττικήν. Καὶ ὁ Σωκράτης, Ἀλλ' εἰσθάπερ μὲν, ἔφη, ταῦτα οὕτως ἔχοντα. δοκεῖ δέ μοι ἀνδρὶ ἀγαθῷ ἄρχοντι νῦν εὐαρεστοτέρως διακεῖσθαι ἡ πόλις, τὸ μὲν γὰρ θάρσος ἀμέλειάν τε καὶ ῥᾳθυμίαν καὶ ἀπείθειαν ἐμβάλλει, ὁ δὲ φόβος προσεκτικωτέρους τε καὶ εὐπειθεστέρους καὶ εὐτακτοτέρους ποιεῖ. Τεκμήριον δ' ἂν τοῦτο καὶ ἀπὸ τῶν ἐν ταῖς

---

dem in finibus absque Lacedaemoniis aliisque Peloponnesiis aciem adversus Athenienses audebant opponere, nunc se suo Marte Atticam invasuros minitentur: Athenienses vero, qui prius, quum adhuc Boeoti soli essent, Boeotiam populabantur, nunc ne Attiçam Boeoti vastent, metuant. Et Socrates, Animadverto, inquit, haec ita se habere: sed videtur mihi civitas nostra nunc animo benigniori erga bonum imperatorem affecta. Nam spiritus sibi praefidens negligentiam et ignaviam et inobedientiam parit; metus autem homines attentiores, obedientiores, magisque compositos reddit. Hujus argumentum etiam de nautis indubita-

Digitized by Google

ναυσίν. ὅταν μὲν γὰρ δήπου μηδὲν φοβῶνται, μεστοί εἰσιν ἀταξίας· ὅταν δὲ ἢ χειμῶνα ἢ πολεμίους δείσωσιν, οὐ μόνον τὰ πελευόμενα πάντα ποιοῦσιν, ἀλλὰ καὶ σιγῶσι παραδοκοῦντες τὰ προσταχθησόμενα, ὥστερ χορευταί.

Ἀλλὰ μὴν, ἔφη ὁ Περικλῆς, εἴ γε νῦν μάλιστα πείθοιντο, ὥρα ἂν εἴη λέγειν, πῶς ἄν αὐτοὺς προτρεψαίμεθα πάλιν ἀνερεθισθῆναι τῆς ἀρχαίας ἀρετῆς τε καὶ εὐκλείας καὶ εὐδαιμονίας. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἰ μὲν ἐβουλόμεθα χρημάτων αὐτοὺς, ὧν οἱ ἄλλοι εἶχον, ἀντιποιεῖσθαι, ἀποδεικνύντες αὐτοῖς ταῦτα πατρῷά τε ὄντα καὶ προσήκοντα, μάλιστα ἂν οὕτως αὐτοὺς ἐξορμῶμεν ἀντέχεσ-

tum sumas: nam utique ubi nihil metuunt, confusionis omnia plena: at ubi vel tempestatem vel hostes verentur, non solum imperata cuncta faciunt, sed etiam cum silentio quid mandetur, sollicite expectant, instar eorum qui choros agunt.

Enimvero, inquit Pericles, si jam maxime parituri sint, opportunum fuerit disserere, quo pacto eos hortemur, ut rursus a virtute, gloria, felicitateque pristina excitentur. Ergo, ait Socrates, si velimus eos opes sibi vindicare, quas habebant alii, maxime ad has repetendas incitaremus, si ostenderemus has illis paternas esse ac peculiares. Quia vero volumus eos operam dare, ut virtute primas obtineant, iterum demonstrandum erit, hoc ip-

Digitized by Google

θαι τούτων· ἐπεὶ δὲ τοῦ μετ' ἀρετῆς πρωτεύειν αὐτοὺς ἐπιμελεῖσθαι βουλόμεθα, τοῦτ' αὖ δεικτέον ἐκ παλαιοῦ μάλιστα προσῆκον αὐτοῖς· καὶ ὡς, τούτου ἐπιμελούμενοι, πάντων ἂν εἶεν κράτιστοι. Πῶς οὖν ἂν τοῦτο διδάσκοιμεν; Οἶμαι μὲν, εἰ τούς γε παλαιοτάτους, ὧν ἀκούομεν, προγόνους αὐτῶν ἀναμιμνήσκοιμεν αὐτοὺς, ἀκηκοότας, ἀρίστους γεγονέναι. Ἆρα λέγεις τὴν τῶν θεῶν κρίσιν, ἣν οἱ περὶ Κέκροπα δι' ἀρετὴν ἔκριναν; Λέγω γὰρ καὶ τὴν Ἐρεχθέως γε τροφὴν καὶ γένεσιν, καὶ τὸν πόλεμον τὸν ἐπ' ἐκείνου γενόμενον πρὸς τοὺς ἐκ τῆς ἐχομένης Ἠπείρου πάσης, καὶ τὸν ἐφ' Ἡρακλειδῶν πρὸς τοὺς ἐν Πελοποννήσῳ καὶ πάντας τοὺς ἐπὶ Θησέως πολεμηθέντας, ἐν

---

sum jam olim ad ipsos potissimum pertinere; quodque si in hoc incumbant, omnium fuerint praestantissimi. P. At quomodo possimus hoc docere? S. Sic arbitror, si majores ipsorum longe antiquissimos, de quibus accepimus, in memoriam eis revocemus, quod nimirum audiverint eos fuisse optimos. P. Num de judicio Deorum loqueris, quod ob virtutem Cecrops cum suis fecit? S. De hoc ipso loquor, et de educatione ac ortu Erecthei, et de bello, quod ab eo susceptum fuit contra omnes civitates finitimas: et de illo, quod ab Herculis nepotibus contra Peloponnesios, et de bellis omnibus, quae sub Theseo gesta sunt; in quibus universis illi

Digitized by Google

οἷς πᾶσιν ἐκεῖνοι δῆλοι γεγόνασι τῶν καθ' ἑαυτοὺς ἀνθρώπων ἀριστεύσαντες. Εἰ δὲ βούλει, ἃ ὕστερον οἱ ἐκείνων μὲν ἀπόγονοι, οὐ πολὺ δὲ πρὸ ἡμῶν γεγονότες, ἔπραξαν, τὰ μὲν αὐτοὶ καθ' ἑαυτοὺς ἀγωνιζόμενοι πρὸς τοὺς κυριεύοντας τῆς τε Ἀσίας πάσης καὶ τῆς Εὐρώπης μέχρι Μακεδονίας, καὶ πλείστην τῶν προγεγονότων δύναμιν καὶ ἀφορμὴν κεκτημένους, καὶ μέγιστα ἔργα κατειργασμένους, τὰ δὲ καὶ μετὰ Πελοποννησίων ἀριστεύοντες καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν· οἳ δὴ καὶ λέγονται πολὺ διενεγκεῖν τῶν καθ' ἑαυτοὺς ἀνθρώπων. Λέγονται γὰρ, ἔφη. Τοιγαροῦν πολλῶν μὲν μεταναστάσεων ἐν τῇ Ἑλλάδι γεγονυιῶν, διέμειναν ἐν τῇ ἑαυτῶν·

---

suae aetatis hominibus manifesto praestiterunt. Adde, si placet, quae deinde illorum nepotes gessere, qui non ita multum ante nos vixere, dum partim ipsi per se dimicarunt adversus eos qui Asiae universae ac Europae ad Macedoniam usque dominabantur, maximamque priorum hominum potentiam atque opes possidebant, ac res maximas gerebant; partim etiam cum Peloponnesiis fortiter se gesserunt terra et mari, quum quidem hi longe praestitisse suae aetatis hominibus dicantur. P. Ita dicuntur, ait. Quapropter quum multae in Graecia migrationes accidierent, illi suo in agro permanserunt: quum inter se multi de jure disceptarent, ip-

Digitized by Google

πολλοὶ δὲ, ὑπὲρ δικαίων ἀντιλέγοντες, ἐπέτρεπον ἐκείνοις· πολλοὶ δὲ, ὑπὸ κρειττόνων ὑβριζόμενοι, κατέφευγον πρὸς ἐκείνους.

Καὶ ὁ Περικλῆς, Καὶ θαυμάζω γε, ἔφη, ὦ Σώκρατες, ἡ πόλις ὅπως ποτ' ἐπὶ τὸ χεῖρον ἔκλινεν. Ἐγὼ μὲν οἶμαι, ἔφη ὁ Σωκράτης, ἡ πόλις ὅπως ποτ' ἐπὶ τὸ χεῖρον ἔκλινεν. Ἐγὼ μὲν οἶμαι, ἔφη ὁ Σωκράτης, ὥσπερ καὶ ἄλλοι τινὲς, διὰ τὸ πολὺ ὑπερενεγκεῖν καὶ κρατιστεῦσαι, καταῤῥᾳθυμήσαντες ὑστερίζουσι τῶν ἀντιπάλων, οὕτω καὶ Ἀθηναίους πολὺ διενεγκόντας ἀμελῆσαι ἑαυτῶν, καὶ διὰ τοῦτο χείρους γεγονέναι. Νῦν οὖν, ἔφη, τί ἂν ποιοῦντες ἀναλάβοιεν τὴν ἀρχαίαν ἀρετήν; Καὶ ὁ Σωκράτης, Οὐδὲν ἀπόκρυφον δοκεῖ μοι

---

sorum arbitrio controversias permittebant: quum multi a potentioribus contumeliosa injuria afficerentur, ad eos confugiebant.

Tum Pericles, equidem miror, inquit, mi Socrates, quo pacto civitas haec in pejus prolapsa sit. Arbitror, inquit Socrates, perinde ac alii quoque nonnulli ob multam suam praestantiam potentiamque desides facti, minus tandem adversariis valent; sic et Athenienses, quum longe praestarent aliis, seipsos neglexisse, ac propterea evasisse pejores. Nunc igitur, inquit *Pericles*, quid facientes pristinam virtutem recuperent? Et Socrates, nihil occultum, ut mihi videtur. Nimirum si, cognitis majorum

Digitized by Google

εἶναι· ἀλλ' εἰ μὲν, ἐξευρόντες τὰ τῶν προγόνων ἐπιτηδεύματα, μηδὲν χεῖρον ἐκείνων ἐπιτηδεύοιεν, οὐδὲν ἂν χείρους ἐκείνων γενέσθαι· εἰ δὲ μὴ, τούς γε νῦν πρωτεύοντας μιμούμενοι, καὶ τούτοις τὰ αὐτὰ ἐπιτηδεύοντες, ὁμοίως μὲν τοῖς αὐτοῖς χρώμενοι, οὐδὲν ἂν χείρους ἐκείνων εἶεν, εἰ δ' ἐπιμελέστερον, καὶ βελτίους. Λέγεις, ἔφη, πόρρω που εἶναι τῇ πόλει τὴν καλοκἀγαθίαν. πότε γὰρ οὕτως Ἀθηναῖοι, ὥσπερ Λακεδαιμόνιοι, ἢ πρεσβυτέρους αἰδέσονται, οἳ ἀπὸ τῶν πατέρων ἄρχονται καταφρονεῖν τῶν γεραιτέρων; ἢ σωμασκήσουσιν οὕτως, οἳ οὐ μόνον αὐτοὶ εὐεξίας ἀμελοῦσιν, ἀλλὰ καὶ τῶν ἐπιμελουμένων καταγελῶσι; Πότε δὲ οὕτω πείσονται τοῖς ἄρχου-

suorum institutis, nihil pejus quam illi essent operati, non essent eis pejores: sin minus, saltem eos imitando qui nunc primas tenent, et eorundem institutis inhaerendo, si quidem id pari facerent industria, nihilo deteriores illis essent; sin majori, etiam meliores. Dico, ait *Pericles*, longe a civitate nostra abesse pulchri bonique studium. Nam quando Athenienses, ita, ut Lacedaemonii, vel natu grandiores reverebuntur, qui ab ipsis patribus ordiantur seniores contemnere? vel ita corporis exercitiis utentur, qui non solum ipsi bonam corporis constitutionem parvi faciunt, sed etiam illos irrident, qui curam ejus habent? Quando ita magistratibus obtempe-

Digitized by Google

σιν, οἳ καὶ ἀγάλλονται ἐπὶ τῷ καταφρονεῖν τῶν ἀρχόντων; ἢ πότε οὕτως ὁμονοήσουσιν, οἵ γε, ἀντὶ μὲν τοῦ συνεργεῖν ἑαυτοῖς τὰ συμφέροντα, ἐπηρεάζουσιν ἀλλήλοις, καὶ φθονοῦσιν ἑαυτοῖς μᾶλλον ἢ τοῖς ἄλλοις ἀνθρώποις, μάλιστα δὲ πάντων ἔν τε ταῖς ἰδίαις συνόδοις καὶ ταῖς κοιναῖς διαφέρονται, καὶ πλείστας δίκας ἀλλήλοις δικάζονται, καὶ προαιροῦνται μᾶλλον οὕτω κερδαίνειν ἀπ' ἀλλήλων, ἢ συνωφελοῦντες αὐτούς, τοῖς δὲ κοινοῖς ὥσπερ ἀλλοτρίοις χρώμενοι, περὶ τούτων αὖ μάχονται, καὶ ταῖς εἰς τὰ τοιαῦτα δυνάμεσι μάλιστα χαίρουσιν; Ἐξ ὧν πολλὴ μὲν ἀπειρία καὶ κακία τῇ πόλει ἐμφύεται, πολλὴ δὲ ἔχθρα καὶ μῖσος ἀλλήλων τοῖς πολίταις ἐγγίγνεται· δι' ἃ ἔγωγε μάλα φοβοῦμαι ἀεὶ,

rabunt, qui gloriantur etiam propterea, quod magistratus contemnant? quando ita concordes erunt, qui pro studio juvandi se invicem, injuriis sese afficiunt, et magis invident sibi, quam caeteris hominibus? qui omnium maxime tum in privatis tum publicis congressibus inter se dissident, litesque invicem sibi plurimas movent, maluntque isto modo alter ab altero quid lucrari, quam mutuo sibi prodesse? qui communibus rebus perinde utuntur ac alienis, deque iis rixantur, et viribus ad res hujuscemodi maxime gaudent? E quibus sane magna inscitia pulchri bonique in civitate oritur, magnaeque inimicitiae ac odia mutua inter cives nascuntur. Quas

Digitized by Google

μή τι μεῖζον, ἢ ὥστε φέρειν δύνασθαι, κακὸν τῇ πόλει συμβῇ.

Μηδαμῶς, ἔφη ὁ Σωκράτης, ὦ Περίκλεις, οὕτως ἡγοῦ ἀνηκέστῳ πονηρίᾳ νοσεῖν Ἀθηναίους. οὐχ ὁρᾷς, ὡς εὔτακτοι μέν εἰσιν ἐν τοῖς ναυτικοῖς, εὐτάκτως δ' ἐν τοῖς γυμνικοῖς ἀγῶσι πείθονται τοῖς ἐπιστάταις, οὐδενῶν δὲ καταδεέστερον ἐν τοῖς χοροῖς ὑπηρετοῦσι τοῖς διδασκάλοις; Τοῦτο γάρ τοι, ἔφη, καὶ θαυμαστόν ἐστι, τὸ τοὺς μὲν τοιούτους πειθαρχεῖν τοῖς ἐφεστῶσι, τοὺς δὲ ὁπλίτας καὶ τοὺς ἱππεῖς, οἳ δοκοῦσι καλοκἀγαθίᾳ προκεκρίσθαι τῶν πολιτῶν, ἀπειθεστάτους εἶναι πάντων. Καὶ ὁ Σωκράτης ἔφη, Ἡ δὲ ἐν Ἀρείῳ πάγῳ βουλὴ, ὦ Περίκλεις, οὐκ ἐκ τῶν δεδοκιμασμένων καθίσταται; Καὶ

ob res equidem vehementer metuere non desino, ne quod civitas detrimentum capiat majus, quam quod tolerare possit.

Nequaquam, mi Pericles, existimaveris Athenienses tam incurabili pravitate, tanquam morbo laborare, subjecit Socrates. Annon vides, quam composite nauticis in rebus se gerant, quam composite gymnicis in certaminibus praefectis obediant, quam nullo modo deficienter subserviant magistris in choris? Est hoc certe mirum, ait *Pericles*, quod tales praefectis obediant: at pedites et equites, qui in pulchri bonique studio civibus caeteris praeferendos esse videntur, omnium sint inobedientissimi. Et Socrates: At vero is, qui

Digitized by Google

μάλα, ἔφη. Οἶσθα οὖν τινὰς, ἔφη, κάλλιον, ἢ νομιμώτερον, ἢ σεμνότερον, ἢ δικαιότερον τάς τε δίκας δικάζοντας, καὶ τἆλλα πάντα πράττοντας; Οὐ μέμφομαι, ἔφη, τούτοις. Οὐ τοίνυν, ἔφη, δεῖ ἀθυμεῖν, ὡς οὐκ εὐτάκτων ὄντων Ἀθηναίων. Καὶ μὴν ἔν γε τοῖς στρατιωτικοῖς, ἔφη, ἔνθα μάλιστα δεῖ σωφρονεῖν τε καὶ εὐτακτεῖν καὶ πειθαρχεῖν, οὐδενὶ τούτων προσέχουσιν. Ἴσως γὰρ, ἔφη ὁ Σωκράτης, ἐν τούτοις οἱ ἥκιστα ἐπιστάμενοι ἄρχουσιν αὐτῶν. οὐχ ὁρᾷς, ὅτι κιθαριστῶν μὲν, καὶ χορευτῶν, καὶ ὀρχηστῶν οὐδὲ εἷς ἐπιχειρεῖ ἄρχειν μὴ ἐπιστάμενος, οὐδὲ παλαιστῶν, οὐδὲ παγκρατιαστῶν, ἀλλὰ πάντες, ὅσοι τούτων ἄρχουσιν, ἔχουσι δεῖξαι, ὁπόθεν ἔμαθον ταῦτα,

---

est in Areopago senatus, mi Pericles, annon ex probatis hominibus constat? Omnino, inquit *Pericles*. An igitur nosti aliquos, ait *Socrates*, qui vel honestius, vel magis legitime, vel gravius, vel aequius lites judicent, aliaque cuncta gerant? Nihil, inquit *Pericles*, de iis queror. Non igitur, inquit *Socrates*, animum despondere oportet, quasi Athenienses composite ve non gerant. At in re militari, inquit *Pericles*, ubi maxime decet animo sano uti, composite, atque obedienter se gerere, nulli horum attendunt. Fortassis, ait Socrates, in his praesunt eis homines minime periti. Annon vides citharaedorum, et eorum qui choros agunt, et pugilum, et pancratiastarum ne unum quidem conari, ut imperet, si quidem imperitus; sed omnes quotquot his praesunt, posse

ἐφ' οἷς ἐφεστᾶσι· τῶν δὲ στρατηγῶν οἱ πλεῖστοι αὐτοσχεδιάζουσιν; Οὐ μέντοι σέ γε τοιοῦτον ἐγὼ νομίζω εἶναι, ἀλλ' οἶμαί σε οὐδὲν ἧττον ἔχειν εἰπεῖν, ὁπότε στρατηγεῖν, ἢ ὁπότε παλαίειν ἤρξῳ μανθάνειν. καὶ πολλὰ μὲν οἶμαί σε τῶν πατρῴων στρατηγημάτων παρειληφότα διασώζειν, πολλὰ δὲ πανταχόθεν συνενηνοχέναι, ὁπόθεν οἷόν τε ἦν μαθεῖν τι ὠφέλιμον εἰς στρατηγίαν. Οἶμαι δέ σε πολλὰ μεριμνᾷν, ὅπως μὴ λάθῃς σεαυτὸν ἀγνοῶν τι τῶν εἰς στρατηγίαν ὠφελίμων, καὶ ἐάν τι τοιοῦτον αἴσθῃ σεαυτὸν μὴ εἰδότα, ζητεῖν τοὺς ἐπισταμένους ταῦτα, οὔτε δώρων οὔτε χαρίτων φειδόμενον, ὅπως μάθῃς παρ' αὐτῶν ἃ μὴ ἐπίστασαι, καὶ συνεργοὺς ἀγαθοὺς ἔχῃς.

commonstrare, a quibus ea didicerint, quibus sunt praepositi: at plerique imperatorum temere munus hoc capessunt? Te quidem minime talem esse arbitror, sed opinor te non minus posse dicere, quo tempore imperandi, quam quo luctandi artem discere occoeperis. Multa etiam te imperatoria consilia de patre accepta tenere puto, multa undecunque congessisse, unde disci abs te poterat aliquid, quod ad imperatoriam artem conferret. Atque te arbitror valde sollicitum esse, ne teipsum lateas ignorans aliquid eorum quae ad munus imperatoris pertinent; ac si quid ejusmodi nescire te animadvertis, id a peritis inquirere, neque muneribus neque gratiis parcentem, ut ab eis discas quae nescis, et bonos coadjutores habeas.

Digitized by Google

Καὶ ὁ Περικλῆς, Οὐ λανθάνεις με, ὦ Σώκρατες, ἔφη, ὅτι, οὐδ' οἰόμενός με τούτων ἐπιμελεῖσθαι, ταῦτα λέγεις, ἀλλ' ἐγχειρῶν με διδάσκειν, ὅτι τὸν μέλλοντα στρατηγεῖν τούτων ἁπάντων ἐπιμελεῖσθαι δεῖ. ὁμολογῶ μέντοι κἀγώ σοι ταῦτα. Τοῦτο δ', ἔφη, ὦ Περίκλεις, κατανενόηκας, ὅτι πρόκειται τῆς χώρας ἡμῶν ὄρη μεγάλα, καθήκοντα ἐπὶ τὴν Βοιωτίαν, δι' ὧν εἰς τὴν χώραν εἴσοδοι στεναί τε καὶ προσάντεις εἰσὶ, καὶ ὅτι μέση διέζωσται ὄρεσιν ἐρυμνοῖς; Καὶ μάλα, ἔφη. Τί δέ γε; ἐκεῖνο ἀκήκοας, ὅτι Μυσοὶ καὶ Πισίδαι ἐν τῇ βασιλέως χώρᾳ κατέχοντες ἐρυμνὰ πάνυ χωρία, καὶ κούφως ὡπλισμένοι, δύνανται πολλὰ μὲν τὴν βασιλέως χώραν καταθέοντες κακοποι-

---

Tum Pericles, non me clam est, mi Socrates, ait, haec te dicere, ne existimantem quidem me his studere, sed conantem me docere, quod si quis velit exercitum ducere, horum omnium habenda ei sit cura. Equidem hoc tibi fateor, *ait Socrates.* Caeterum animadvertisti, mi Pericles, ait, magnos quosdam montes ante nostram regionem sitos esse, ad Boeotiam usque pertinentes, per quos in agrum nostrum aditus arcti et ardui sunt: eumque medium cinctum esse montibus munitis? Omnino, inquit *Pericles.* S. Quid? an et illud audivisti, Mysos ac Pisidas, qui Regis *Persici* in ditione munitissima tenent loca, armatique sunt leviter, multum in-

Digitized by Google

εἶν, αὐτοὶ δὲ ζῆν ἐλεύθεροι; Καὶ τοῦτό γε, ἔφη, ἀκούω. Ἀθηναίους δ' οὐκ ἂν οἴει, ἔφη, μέχρι τῆς ἐλαφρᾶς ἡλικίας ὡπλισμένους κουφοτέροις ὅπλοις, καὶ τὰ προκείμενα τῆς χώρας ὄρη κατέχοντας, βλαβεροὺς μὲν τοῖς πολεμίοις εἶναι, μεγάλην δὲ προβολὴν τοῖς πολίταις τῆς χώρας κατεσκευάσθαι; Καὶ ὁ Περικλῆς, Πάντ' οἶμαι, ἔφη, ὦ Σώκρατες, καὶ ταῦτα χρήσιμα εἶναι. Εἰ τοίνυν, ἔφη ὁ Σωκράτης, ἀρέσκει σοι ταῦτα, ἐπιχείρει αὐτοῖς, ὦ ἄριστε. ὅ, τι μὲν γὰρ ἂν τούτων κατορθώσῃς, καὶ σοὶ καλὸν ἔσται, καὶ τῇ πόλει ἀγαθόν· ἐὰν δέ τι ἀδυνατῇς, οὔτε τὴν πόλιν βλάψεις, οὔτε σαυτὸν καταισχυνεῖς.

---

festare Regis agrum percurrendo posse, quum interim ipsi libertate fruantur? Etiam hoc audio, inquit Pericles. Et non existimas, inquit *Socrates*, Athenienses leviori armatura per aetatem agilem usos, quum montes regioni praetentos habeant, hostibus quidem detrimento, civibus autem sui agri magno fore propugnaculo? Tum Pericles, etiam haec omnia, mi Socrates, inquit, esse utilia duco. Ergo, subjecit Socrates, si haec tibi placent, aggredere ea, vir optime. Nam quicquid horum perfeceris, et tibi praeclarum, et utile civitati fuerit. Quod si minus queas, non tamen vel civitati quid detrimenti afferes, vel opprobrii tibi.

Digitized by Google

ς'. Γλαύκωνα δὲ τὸν Ἀρίστωνος (ὅτ' ἐπεχείρει δημηγορεῖν, ἐπιθυμῶν προστατεύειν τῆς πόλεως, οὐδέπω εἴκοσιν ἔτη γεγονὼς) ὄντων ἄλλων οἰκείων καὶ φίλων, οὐδεὶς ἠδύνατο παῦσαι ἑλκόμενόν τε ἀπὸ τοῦ βήματος καὶ καταγέλαστον ὄντα· Σωκράτης δὲ, εὔνους ὢν αὐτῷ διά τε Χαρμίδην τὸν Γλαύκωνος καὶ διὰ Πλάτωνα, μόνος ἔπαυσεν. Ἐντυχὼν γὰρ αὐτῷ, πρῶτον μὲν εἰς τὸ ἐθελῆσαι ἀκούειν, τοιάδε λέξας, κατέσχεν· Ὦ Γλαύκων, ἔφη, προστατεύειν ἡμῖν διανενόησαι τῆς πόλεως; Ἔγωγ', ἔφη, ὦ Σώκρατες. Νὴ Δί', ἔφη, καλὸν γὰρ, εἴπερ τι καὶ ἄλλο τῶν ἐν ἀνθρώποις. δῆλον γὰρ, ὅτι, ἐὰν τοῦτο διαπράξῃ, δυνατὸς μὲν ἔσῃ αὐτὸς τυγχάνειν ὅτου ἂν

6. Caeterum Glauconem Aristonis filium, (quum is necdum viginti natus annos concionari aggrederetur, et praeesse civitati cuperet) nemo dissuadere poterat, quanquam alios et propinquos et amicos haberet, ac de tribunali detraheretur, planeque ridiculus esset: Socrates vero, qui ei benevolus esset ob Charmidem Glauconis filium, et ob Platonem, solus dissuasit. Nam quum in eum incidisset, primo quidem ut vellet audire, hujusmodi verbis detinuit: Praeesse civitati nostrae cogitas, inquit, mi Glauco? Equidem, mi Socrates, inquit. Profecto, ait, si quid aliud humanis in rebus, hoc certe praeclarum est. Perspicuum est enim, quod, si hoc

Digitized by Google

ἐπιθυμῇς, ἱκανὸς δὲ τοὺς φίλους ὠφελεῖν, ἐπαρεῖς δὲ τὸν πατρῷον οἶκον, αὐξήσεις δὲ τὴν πατρίδα, ὀνομαστὸς δ' ἔσῃ, πρῶτον μὲν ἐν τῇ πόλει, ἔπειτα δ' ἐν τῇ Ἑλλάδι, ἴσως δὲ, ὥσπερ Θεμιστοκλῆς, καὶ ἐν τοῖς βαρβάροις· ὅπου δ' ἂν ᾖς, πανταχοῦ περίβλεπτος ἔσῃ.

Ταῦτ' οὖν ἀκούων ὁ Γλαύκων ἐμεγαλύνετο, καὶ ἡδέως παρέμενε. Μετὰ δὲ ταῦτα ὁ Σωκράτης, Οὐκοῦν, ἔφη, τοῦτο μέν, ὦ Γλαύκων, δῆλον, ὅτι, εἴπερ τιμᾶσθαι βούλει, ὠφελητέα σοι ἡ πόλις ἐστίν; Πάνυ μὲν οὖν, ἔφη. Πρὸς θεῶν, ἔφη, μὴ τοίνυν ἀποκρύψῃ, ἀλλ' εἰπὲ ἡμῖν, ἐκ τίνος ἄρξῃ τὴν πόλιν εὐεργετεῖν; Ἐπεὶ δὲ ὁ Γλαύκων διεσιώπησεν, ὡς ἂν τότε σκοπῶν, ὁπόθεν ἄρχοιτο· Ἆρ', ἔφη ὁ Σωκρά-

impetrabis, poteris ipse consequi quaecunque concupiveris, amicos juvare, domum paternam extollere, patriam amplificare, atque celebris efficieris primum in civitate, deinde in Graecia, ac fortassis etiam, uti Themistocles, apud barbaros: ubicunque autem fueris, ubique eris illustris.

Haec quum audiret Glauco, efferebatur animo, lubenterque manebat. Post haec Socrates palam est igitur, ait, mi Glauco, necessarium esse, ut si quidem esse in honore velis, aliquam civitati utilitatem afferas. Omnino, ait. Non igitur rem celaveris, per Deos, inquit Socrates, sed dicito nobis, unde incipies civitati benefacere. Heic quum Glauco subticeret, ut qui tum consideraret unde potissimum incipe-

Digitized by Google

της, ὥσπερ φίλου οἶκον εἰ αὐξῆσαι βούλοιο, πλουσιώτερον αὐτὸν ἐπιχειροίης ἂν ποιεῖν, οὕτω καὶ τὴν πόλιν πειράσῃ πλουσιωτέραν ποιῆσαι; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν πλουσιωτέρα γ' ἂν εἴη, προσόδων αὐτῇ πλειόνων γενομένων; Εἰκὸς γοῦν, ἔφη. Λέξον δὴ, ἔφη, ἐκ τίνων νῦν αἱ πρόσοδοι τῇ πόλει, καὶ πόσαι τινές εἰσι; δῆλον γὰρ ὅτι ἔσκεψαι, ἵνα, εἰ μέν τινες αὐτῶν ἐνδεῶς ἔχουσιν, ἐκπληρώσῃς· εἰ δὲ παραλείποντάι, προσπορίσῃς. Ἀλλὰ μὰ Δί', ἔφη ὁ Γλαύκων, ταῦτά γε οὐκ ἐπέσκεμμαι.

Ἀλλ' εἰ τοῦτο, ἔφη, παρέλιπες, τάς γε δαπάνας τῆς πόλεως ἡμῖν εἰπέ. δῆλον γὰρ ὅτι καὶ τούτων τὰς περιττὰς ἀφαιρεῖν διανοῇ.

---

ret: Annon, ait Socrates, perinde ac, dum amici domum vis amplificare, locupletiorem efficere niteris, ita et civitatem conaberis opulentiorem reddere? Omnino, inquit. Fueritne igitur locupletior, si proventus ei plures accedant? Consentaneum quidem, ait. Dic ergo, ait, quibus ex rebus civitas proventus habet, et quanti sunt: nam palam est, hoc te considerasse, ut si quidam ex eis exigui sint, eos tu expleas; si qui autem amittantur, eos rursum compares. Ego vero, ait Glauco, nunquam profecto haec consideravi.

Quod si hoc neglexisti, ait *Socrates*, sumptus civitatis nobis exponito. Nam palam est, cogitare te jam, ut supervaca-

Digitized by Google

Ἀλλὰ μὰ τὸν Δί', ἔφη, οὐδὲ πρὸς ταῦτά πω ἐσχόλασα. Οὐκοῦν, ἔφη, τὸ μὲν πλουσιωτέραν τὴν πόλιν ποιεῖν ἀναβαλούμεθα· πῶς γὰρ οἷόν τε, μὴ εἰδότα γε τὰ ἀναλώματα καὶ τὰς προσόδους, ἐπιμεληθῆναι τούτων; Ἀλλ', ὦ Σώκρατες, ἔφη ὁ Γλαύκων, δυνατόν ἐστι καὶ ἀπὸ πολεμίων τὴν πόλιν πλουτίζειν. Νὴ Δία σφόδρα γ', ἔφη ὁ Σωκράτης, ἐάν τις αὐτῶν κρείττων ᾖ· ἥττων δὲ ὤν, καὶ τὰ οἰκεῖα προσαποβάλοι ἄν. Ἀληθῆ λέγεις, ἔφη.

Οὐκοῦν, ἔφη, τόν γε βουλευσόμενον, πρὸς οὕστινας δεῖ πολεμεῖν, τήν τε τῆς πόλεως δύναμιν καὶ τὴν τῶν ἐναντίων εἰδέναι δεῖ, ἵνα, ἐὰν μὲν ἡ τῆς πόλεως κρείττων ᾖ, συμβουλεύῃ ἐπιχειρεῖν τῷ πολέμῳ· ἐὰν δὲ ἥττων

---

neos tollas. Ne his quidem, ait, unquam vacavi. Ergo, inquit, differamus aliquantum rationem locupletandae civitatis. Nam qui possit fieri, ut harum rerum curam habeat is, qui et sumptus et proventus ignoret? Verum, mi Socrates, ait Glauco, potest etiam ab hostibus civitas reddi locupletior. Ac vehementer quidem, ait Socrates, si quis eos vinceret: at si vinceretur, etiam sua amittat. Vere dicis, inquit.

Ergo, inquit, qui deliberat adversus quos pugnandum sit, eum et civitatis et adversariorum vires habere cognitas oportet, ut si majores sint civitatis, bellum suadeat: sin minores quam hostium, *bellum* evitare consulat. Recte dicis,

Digitized by Google

τῆς τῶν ἐναντίων, εὐλαβεῖσθαι πείθῃ. Ὀρθῶς λέγεις, ἔφη. Πρῶτον μὲν τοίνυν, ἔφη, λέξον ἡμῖν τῆς πόλεως τήν τε πεζικὴν καὶ τὴν ναυτικὴν δύναμιν, εἶτα τὴν τῶν ἐναντίων. Ἀλλὰ μὰ τὸν Δί, ἔφη, οὐκ ἂν ἔχοιμί σοι οὕτως γε ἀπὸ στόματος εἰπεῖν. Ἀλλ', εἰ γέγραπταί σοι, ἔνεγκε, ἔφη· πάνυ γὰρ ἡδέως ἂν τοῦτο ἀκούσαιμι. Ἀλλὰ μὰ τὸν Δί, ἔφη, οὐδὲ γέγραπταί μοί πω. Οὐκοῦν, ἔφη, καὶ περὶ πολέμου συμβουλεύειν τήν γε πρώτην ἐπισχήσομεν· ἴσως γὰρ καὶ διὰ τὸ μέγεθος αὐτῶν, ἄρτι ἀρχόμενος τῆς προστατείας, οὕπω ἐξήτακας· ἀλλά τοι περί γε φυλακῆς τῆς χώρας οἶδ' ὅτι σοι μεμέληκεν, καὶ οἶσθα, ὁπόσαι τε φυλακαὶ ἐπίκαιροί εἰσι, καὶ ὁπόσαι

---

ait. Ergo nobis primum exponito, inquit, quae civitatis tum pedestres tum navales sint copiae; deinde, quae adversariorum. Ego vero, inquit, non possum hoc tibi profecto ex memoria exponere. At si quid conscriptum habes, profer, ait: nam lubenter admodum hoc audiero. At ne conscriptum quidem hoc unquam a me, inquit. Ergo, inquit, et deliberationem de bello nonnihil initio suspendemus. Nam ob rei magnitudinem fortasse nondum explorati quidquam habes, praesertim quum civitati praeesse nuper inceperis. Caeterum custodiam regionis scio tibi curae fuisse, ac te scire quot opportunae, et quot superfluae custodiae sunt; et quot

Digitized by Google

μὴ, καὶ ὁπόσοι τε φρουροὶ ἱκανοί εἰσι, καὶ ὁπόσοι μή εἰσι, καὶ τὰς μὲν ἐπικαίρους φυλακὰς συμβουλεύσεις μείζονας ποιεῖν, τὰς δὲ περιττὰς ἀφαιρεῖν. Νὴ Δί', ἔφη ὁ Γλαύκων, ἁπάσας μὲν οὖν ἔγωγε, ἕνεκά γε τοῦ οὕτως αὐτὰς φυλάττεσθαι, ὥστε κλέπτεσθαι τὰ ἐκ τῆς χώρας. Ἐὰν δέ τις ἀφέλῃ γ', ἔφη, τὰς φυλακὰς, οὐκ οἴει καὶ ἁρπάζειν ἐξουσίαν ἔσεσθαι τῷ βουλομένῳ; ἀτὰρ, ἔφη, πότερον ἐλθὼν αὐτὸς ἐξήτακας τοῦτο, ἢ πῶς οἶσθα, ὅτι κακῶς φυλάττονται; Εἰκάζω, ἔφη. Οὐκοῦν, ἔφη, καὶ περὶ τούτων, ὅταν μηκέτι εἰκάζωμεν, ἀλλ' ἤδη εἰδῶμεν, τότε συμβουλεύσομεν. Ἴσως, ἔφη ὁ Γλαύκων, βέλτιον.

---

custodes sufficiunt, et quot non *sufficiunt*: ac opportunas quidem custodias consules augere, superfluas vero auferre. Imo vero, subjecit Glauco, equidem tollendas universas arbitror, quod ita custodiant, ut ea etiam sibi attingant, quae ex agro proveniunt. At si quis custodias tollat, inquit *Socrates*, annon existimas cupienti fore potestatem etiam rapiendi? Tu vero, inquit, num profectus eo, rem indagasti, aut quomodo scis eos malas excubias agere? Conjicio, inquit. Ergo de his quoque tum deliberabimus, cum non amplius utemur conjectura, sed cognitam rem habebimus. Fortassis hoc fuerit potius, ait Glauco.

Digitized by Google

Εἴς γε μὴν, ἔφη, τἀργυρεῖα οἶδ' ὅτι οὐκ ἀφῖξαι, ὥστ' ἔχειν εἰπεῖν, διότι νῦν ἐλάττω, ἢ πρόσθεν, προσέρχεται αὐτόθεν. Οὐ γὰρ οὖν ἐλήλυθα, ἔφη. Καὶ γὰρ νὴ Δί', ἔφη ὁ Σωκράτης, λέγεται βαρὺ τὸ χωρίον εἶναι, ὥστε, ὅταν περὶ τούτου δέῃ συμβουλεύειν, αὕτη σοι ἡ πρόφασις ἀρκέσει. Σκέπτομαι, ἔφη ὁ Γλαύκων. Ἀλλ' ἐκείνου γέ τοι, ἔφη, οἶδ' ὅτι οὐκ ἠμέλησας, ἀλλ' ἔσκεψαι, πόσον χρόνον ἱκανὸς ἐστιν ὁ ἐκ τῆς χώρας γιγνόμενος σῖτος διατρέφειν τὴν πόλιν, καὶ πόσου εἰς τὸν ἐνιαυτὸν προσδέεται, ἵνα μὴ τοῦτό γε λάθῃ σέ ποτε ἡ πόλις ἐνδεὴς γενομένη, ἀλλ' εἰδὼς, ἔχῃς ὑπὲρ τῶν ἀναγκαίων συμβουλεύων τῇ πόλει βοηθεῖν τε καὶ σώζειν αὐτήν. Λέ-

---

In argentifodinas quidem certe, inquit *Socrates*, non venisse te scio, ut dicere possis, quamobrem nunc minus inde, quam antehac, proveniat. Equidem eo non sum profectus, ait. Profecto, inquit Socrates, fertur is locus esse gravis: quamobrem ubi de hoc consultandum erit, haec tibi excusatio sufficiet. Hoc quidem meditabor, ait Glauco. Hoc autem, ait, non neglexisse te scio, sed considerasse, quamdiu frumentum, quod in agro nascitur, ad alendam civitatem sufficiat; quantumque in annum requiratur, ne te hoc lateat quum civitas inopia laboret, sed *hoc* sciens possis de necessariis consulendo civitatem adjuvare, salvamque facere. Rem

Digitized by Google

γεις, ἔφη ὁ Γλαύκων, παμμέγεθες πρᾶγμα, εἴ γε καὶ τῶν τοιούτων ἐπιμελεῖσθαι δεήσει. Ἀλλὰ μέντοι, ἔφη ὁ Σωκράτης, οὐδ' ἂν τὸν ἑαυτοῦ ποτε οἶκον καλῶς τις οἰκήσειεν, εἰ μὴ πάντα μὲν εἴσεται, ὧν προσδέεται, πάντων δὲ ἐπιμελόμενος ἐκπληρώσει. ἀλλ' ἐπεὶ ἡ μὲν πόλις ἐκ πλειόνων ἢ μυρίων οἰκιῶν συνέστηκε, χαλεπὸν δέ ἐστιν ἅμα τοσούτων οἴκων ἐπιμελεῖσθαι, πῶς οὐχ' ἕνα, τὸν τοῦ θείου, πρῶτον ἐπειράθης αὐξῆσαι; (δέεται δέ·) κἂν μὲν τοῦτον δύνῃ, καὶ πλείοσιν ἐπιχειρήσεις· ἕνα δὲ μὴ δυνάμενος ὠφελῆσαι, πῶς ἂν πολλούς γε δυνηθείης; ὥσπερ εἴ τις ἓν τάλαντον μὴ δύναιτο φέρειν, πῶς οὐ φανερὸν, ὅτι πλείω γε φέρειν οὐδ' ἐπιχειρητέον αὐτῷ; Ἀλλ' ἔγωγ',

---

permagnam dicis, inquit Glauco, si quidem erit talium habenda cura. Enimvero, inquit Socrates, ne suam quidem familiam recte quis administraverit, si non sciat omnia, quibus ei opus fuerit; et omnia diligenti cura suppleat. Sed quum civitas ex pluribus quam decem mille familiis constet, ac difficile sit tot familiarum curam simul habere, cur non patrui tui familiam unam primum augere conatus es? etenim indiget. Hanc autem si potueris, conaberis etiam plures: sin uni prodesse nequeas, qui pluribus prosis? Sicut si quis unum talentum gestare nequeat, qui non manifestum est, huic ne conandum quidem esse, ut plura gestet? Ego

Digitized by Google

ἔφη ὁ Γλαύκων, ὠφελοίην ἂν τὸν τοῦ θείου οἶκον, εἴ μοι ἐθέλοι πείθεσθαι. Εἶτα, ἔφη ὁ Σωκράτης, τὸν θεῖον οὐ δυνάμενος πείθειν, Ἀθηναίους πάντας μετὰ τοῦ θείου νομίζεις δυνήσεσθαι ποιῆσαι πείθεσθαί σοι; Φυλάττου, ἔφη, ὦ Γλαύκων, ὅπως μὴ, τοῦ εὐδοξεῖν ἐπιθυμῶν, εἰς τοὐναντίον ἔλθῃς. ἢ οὐχ ὁρᾷς, ὡς σφαλερόν ἐστι τὸ, ἃ μὴ οἴδέ τις, ταῦτα λέγειν ἢ πράττειν; ἐνθυμοῦ δὲ τῶν ἄλλων, ὅσους οἶσθα τοιούτους, οἵοι φαίνονται καὶ λέγοντες, ἃ μὴ ἴσασι, καὶ πράττοντες, πότερά σοι δοκοῦσιν ἐπὶ τοῖς τοιούτοις ἐπαίνου μᾶλλον ἢ ψόγου τυγχάνειν, καὶ πότερον θαυμάζεσθαι μᾶλλον ἢ καταφρονεῖσθαι. Ἐνθυμοῦ

---

vero, subjecit Glauco, prodessem patrui familiae, si mihi vellet obtemperare. Ergo, ait Socrates, quum patruo persuadere non possis, effecturum te putas, ut Athenienses universi una cum patruo tibi pareant? Cave, mi Glauco, inquit, ne gloriae cupidus in contrarium prolabaris. Annon vides, quam periculosum sit ea vel dicere vel facere aliquem, quae ignorat? Etiam de aliis cogites, quoscunque tales nosti, quales esse videantur qui vel dicunt ea quae nesciunt, vel faciunt; num tibi videantur propterea laudem potius, quam vituperium consequi; et num in admiratione magis, quam in con-

Digitized by Google

δὲ καὶ τῶν εἰδότων ὅ, τι τε λέγουσι καὶ ὅ, τι ποιοῦσι· καὶ, ὡς ἐγὼ νομίζω, εὑρήσεις ἐν πᾶσιν ἔργοις τοὺς μὲν εὐδοκιμοῦντάς τε καὶ θαυμαζομένους, ἐκ τῶν μάλιστα ἐπισταμένων ὄντας, τοὺς δὲ κακοδοξοῦντάς τε καὶ καταφρονουμένους, ἐκ τῶν ἀμαθεστάτων. Εἰ οὖν ἐπιθυμεῖς εὐδοκιμεῖν τε καὶ θαυμάζεσθαι ἐν τῇ πόλει, πειρῶ κατεργάσασθαι ὡς μάλιστα τὸ εἰδέναι, ἃ βούλει πράττειν· ἐὰν γὰρ τούτῳ διενέγκων τῶν ἄλλων ἐπιχειρῇς τὰ τῆς πόλεως πράττειν, οὐκ ἂν θαυμάσαιμι, εἰ πάνυ ῥᾳδίως τύχοις, ὧν ἐπιθυμεῖς.

ζ'. Χαρμίδην δὲ τὸν Γλαύκωνος ὁρῶν ἀξιόλογον μὲν ἄνδρα ὄντα, καὶ πολλῷ δυνατώτερον τῶν τὰ πολιτικὰ τότε πραττόντων,

temptu esse. Itidem cogites de iis, qui norunt, quicquid vel dicunt, vel agunt: invenies, ut opinor, in omnibus actionibus eos, qui bene audiunt et admirationi habentur, ex maxime peritorum esse numero; eos autem, qui male audiunt, ac contemnuntur, ex numero esse imperitissimorum. Quamobrem si et clarus esse velis in civitate, et in hominum admiratione, operam pro viribus dato, ut ea noris, quae suscipere cogitas. Nam si caeteris in hoc praestans, negotia civitatis tractare coeperis, mirum mihi non erit, si facillime consequaris ea, quae concupiscis.

7. Quum autem videret Charmidem Glauconis filium hominem esse magni pretii, multoque potentiorem illis, qui rempublicam tunc gerebant,

Digitized by Google

ὀκνοῦντα δὲ προσίεναι τῷ δήμῳ, καὶ τῶν τῆς πόλεως πραγμάτων ἐπιμελεῖσθαι, Εἰπέ μοι, ἔφη, ὦ Χαρμίδη, εἴ τις ἱκανὸς ὢν τοὺς στεφανίτας ἀγῶνας νικᾶν, καὶ διὰ τοῦτο αὐτός τε τιμᾶσθαι, καὶ τὴν πατρίδα ἐν τῇ Ἑλλάδι εὐδοκιμωτέραν ποιεῖν, μὴ θέλοι ἀγωνίζεσθαι, ποῖόν τινα τοῦτον νομίζοις ἂν τὸν ἄνδρα εἶναι; Δῆλον ὅτι, ἔφη, μαλακόν τε καὶ δειλόν. Εἰ δέ τις, ἔφη, δυνατὸς ὢν τῶν τῆς πόλεως πραγμάτων ἐπιμελόμενος τήν τε πόλιν αὔξειν, καὶ αὐτὸς διὰ τοῦτο τιμᾶσθαι, ὀκνοίη ἥδη τοῦτο πράττειν, οὐκ ἂν εἰκότως δειλὸς νομίζοιτο; Ἴσως, ἔφη. ἀτὰρ πρὸς τί με ταῦτα ἐρωτᾷς; Ὅτι, ἔφη, οἴμαί σε, δυνατὸν ὄντα, ὀκνεῖν ἐπιμελεῖσθαι, καὶ ταῦτα, ὧν ἀνάγκη σοι μετέ-

---

nolentem vero ad populum accedere, reique publicae tractare negotia, Dic mihi, mi Charmides, inquit, si quis, quum in certaminibus coronatis vincere possit, eaque re tum ipse honorem consequi, tum patriam in Graecia illustriorem reddere, decertare nolit, qualem existimes hunc hominem esse? Certe mollem, ait, et timidum. At si quis, quum possit, rempublicam tractando, tum civitatem amplificare, tum ipse ob id honorari, hoc tamen facere reformidet, annon is merito pro timido habeatur? Fortassis, inquit: sed cur haec me interrogas? Quod te, inquit, cum possis,

Digitized by Google

χειν, πολίτῃ γε ὄντι. Τὴν δὲ ἐμὴν δύναμιν, ἔφη ὁ Χαρμίδης, ἐν ποίῳ ἔργῳ καταμαθὼν, ταῦτά μου καταγιγνώσκεις; Ἐν ταῖς συνουσίαις, ἔφη, αἷς σύνει τοῖς τὰ τῆς πόλεως πράττουσι· καὶ γὰρ, ὅταν τι ἀναποινῶνταί σοι, ὁρῶ σε καλῶς συμβουλεύοντα, καὶ, ὅταν τι ἁμαρτάνωσιν, ὀρθῶς ἐπιτιμῶντα. Οὐ ταὐτόν ἐστιν, ἔφη, ὦ Σώκρατες, ἰδίᾳ τε διαλέγεσθαι, καὶ ἐν τῷ πλήθει ἀγωνίζεσθαι. Καὶ μὴν ἔφη, ὅγε ἀριθμεῖν δυνάμενος, οὐδὲν ἧττον ἐν τῷ πλήθει ἢ μόνος ἀριθμεῖ· καὶ οἱ κατὰ μόνας ἄριστα κιθαρίζοντες, οὗτοι καὶ ἐν τῷ πλήθει κρατιστεύουσιν.

Αἰδὼ δὲ καὶ φόβον, ἔφη, οὐχ ὁρᾷς ἔμφυ-

---

reformidare arbitror negotia suscipere; idque cum eorum participem fieri necesse sit, quippe cum civis sis. At quonam ex facinore, ait Charmides, potentiam meam cognoscens, ita de me sentias? Iis, inquit, ex congressibus, in quibus adesse soles illis, qui rempublicam administrant: nam ubi quid tecum communicant, video te rectum consilium dare, atque ubi peccant, recte illos reprehendere. Non idem est, mi Socrates, inquit, privatim disserere, et apud multitudinem certare. Atqui respondit, qui numerare potest, nihilo minus apud multitudinem, quam solus numerat: et qui privatim cithara canunt optime, iidem etiam apud multitudinem primas obtinent.

Tu vero non vides, inquit, verecundiam ac metum a natura hominibus inesse, multo-

Digitized by Google

τά τε ἀνθρώποις ὄντα, καὶ πολλῷ μᾶλλον ἐν τοῖς ὄχλοις ἢ ἐν ταῖς ἰδίαις ὁμιλίαις παρεστάμενα; Καί σέ γε διδάξων, ἔφη, ὥρμημαι, ὅτι οὔτε τοὺς φρονιμωτάτους αἰδούμενος, οὔτε τοὺς ἰσχυροτάτους φοβούμενος, ἐν τοῖς ἀφρονεστάτοις τε καὶ ἀσθενεστάτοις αἰσχύνῃ λέγειν. Πότερον γὰρ τοὺς γναφεῖς αὐτῶν, ἢ τοὺς σκυτεῖς, ἢ τοὺς τέκτονας, ἢ τοὺς χαλκεῖς, ἢ τοὺς γεωργοὺς, ἢ τοὺς ἐμπόρους, ἢ τοὺς ἐν τῇ ἀγορᾷ μεταβαλλομένους, καὶ φροντίζοντας, ὅ, τι ἐλάττονος πριάμενοι πλείονος ἀποδῶνται, αἰσχύνῃ; ἐκ γὰρ τούτων ἁπάντων ἡ ἐκκλησία συνίσταται. Τί δὲ οἴει διαφέρειν, ὃ σὺ ποιεῖς, ἢ τῶν ἀσκητῶν ὄντα κρείττω τοὺς ἰδιώτας φοβεῖσθαι; οὐ γὰρ τοῖς

---

que magis haec in publico, quam in privatis congressibus praesto esse? Ego vero te docere exorsus sum, inquit, quod neque prudentissimos reveritus, neque potentissimos metuens, inter imprudentissimos ac maxime imbecillos verba facere erubescas. Num enim, ex illis fullones, vel sutores, vel fabros, vel artifices aerarios, vel agricolas, vel mercatores, vel eos qui negotiantur in foro, et quid minoris emptum pluris vendere possint soliciti sunt, revereris? Nam ex his omnibus conficitur concio. Quid autem interesse putas inter hoc, quod tu facis, atque si quis pugilibus superior imperitos metuat? nimirum quum inter principes reipublicae, (quorum

Digitized by Google

πρωτεύουσιν ἐν τῇ πόλει (ὧν ἔνιοι καταφρονοῦσί σου) ῥᾳδίως διαλεγόμενος, καὶ τῶν ἐπιμελουμένων τοῦ τῇ πόλει διαλέγεσθαι πολὺ περιὼν, ἐν τοῖς μηδεπώποτε φροντίσασι τῶν πολιτικῶν, μηδὲ σοῦ καταπεφρονηκόσιν, ὀκνεῖς λέγειν, δεδιὼς μὴ καταγελασθῇς; Τί δ'; ἔφη, οὐ δοκοῦσί σοι πολλάκις οἱ ἐν τῇ ἐκκλησίᾳ τῶν ὀρθῶς λεγόντων καταγελᾶν; Καὶ γὰρ οἱ ἕτεροι, ἔφη. διὸ καὶ θαυμάζω σου, εἰ ἐκείνους, ὅταν τοῦτο ποιῶσι, ῥᾳδίως χειρούμενος, τούτοις μηδένα τρόπον οἴει δυνήσεσθαι προσενεχθῆναι. Ὦ ἀγαθὲ, μὴ ἀγνόει σεαυτὸν, μηδὲ ἁμάρτανε, ἃ οἱ πλεῖστοι ἁμαρτάνουσιν. οἱ γὰρ πολλοὶ ὡρμηκότες ἐπὶ τὸ σκοπεῖν τὰ τῶν ἄλλων πράγματα, οὐ τρέπον-

---

nonnulli te contemnunt) facillime disseras, longeque superes illos, qui perorare ad cives student, inter eos loqui te piget, qui nunquam rerum civilium studiosi fuerunt, neque te contempserunt; metuens scilicet, ne deridearis. Quid autem? inquit, annon tibi videtur concio saepe eos deridere, qui recte perorant? Nam et alii etiam, inquit *Socrates*. Quamobrem te miror, illos quidem, quum hoc faciunt, facile vincere, putare autem te nullo modo his uti posse. Vir bone, noli teipsum ignorare; nec in illis delinque, in quibus plurimi delinquunt. Nam multi magno studio excitati ad considerandum aliena negotia, non se convertunt ad seipsos

Digitized by Google

ται ἐπὶ τὸ ἑαυτοὺς ἐξετάζειν. μὴ οὖν ἀπορ-
ῥαθύμει τούτου, ἀλλὰ διατείνου μᾶλλον πρὸς
τὸ σαυτῷ προσέχειν, καὶ μὴ ἀμέλει τῶν τῆς
πόλεως, εἴ τι δυνατόν ἐστιν διὰ σὲ βέλτιον
ἔχειν. τούτων γὰρ καλῶς ἐχόντων, οὐ μόνον
οἱ ἄλλοι πολῖται, ἀλλὰ καὶ οἱ σοὶ φίλοι,
καὶ αὐτὸς σὺ οὐκ ἐλάχιστα ὠφελήσῃ.

ἡ. Ἀριστίππου δὲ ἐπιχειροῦντος ἐλέγχειν
τὸν Σωκράτη, (ὥσπερ αὐτὸς ὑπ' ἐκείνου τὸ
πρότερον ἠλέγχετο) βουλόμενος τοὺς συνόντας
ὠφελεῖν ὁ Σωκράτης, ἀπεκρίνατο, οὐχ ὥσπερ
οἱ φυλαττόμενοι μή πῃ ὁ λόγος ἐπαλλαχθῇ,
ἀλλ' ὡς ἂν πεπεισμένοι μάλιστα πράττοιεν
τὰ δέοντα. Ὁ μὲν γὰρ αὐτὸν ἤρετο, εἴ τι
εἰδείη ἀγαθὸν, ἵνα, εἴ τι εἴποι τῶν τοιούτων,

---

explorandos. Itaque ne hoc per ignaviam negligas, sed magis enitere, ut teipsum respicias: nec reipublicae curam abjice, si qua parte poterit ea per te juvari. Nam si ea bene se habeat, non solum alii cives, sed tui etiam amici, et ipse tu non parum utilitatis acquires.

8. Quum autem Aristippus in hoc incumberet, ut Socratem convinceret (sicut ipse convictus ab illo prius fuerat) volens Socrates prodesse familiaribus suis, sic respondebat, non ut illi, qui cavent, ne qua parte sermo invertatur; sed ut persuasi maxime facerent ea, quae deberent. Nam interrogabat

Digitized by Google

οἷον ἢ σῖτον, ἢ ποτὸν, ἢ χρήματα, ἢ ὑγίειαν, ἢ ῥώμην, ἢ τόλμαν, δεικνύῃ δὴ τοῦτο κακὸν ἐνίοτε ὄν. ὁ δὲ εἰδὼς, ὅτι ἐάν τι ἐνοχλῇ ἡμᾶς, δεόμεθα τοῦ παύσοντος, ἀπεκρίνατο, ἥπερ καὶ ποιεῖν κράτιστον. Ἆρα γὰρ, ἔφη, ἐρωτᾷς με, εἴ τι οἶδα πυρετοῦ ἀγαθόν; Οὐκ ἔγωγ', ἔφη. Ἀλλὰ ὀφθαλμίας; Οὐδὲ τοῦτο. Ἀλλὰ λιμοῦ; Οὐδὲ λιμοῦ. Ἀλλὰ μὴν, ἔφη, εἴγ' ἐρωτᾷς με, εἴ τι ἀγαθὸν οἶδα, ὃ μηδενὸς ἀγαθόν ἐστιν, οὔτ' οἶδα, ἔφη, οὔτε δέομαι.

Πάλιν δὲ τοῦ Ἀριστίππου ἐρωτῶντος αὐτὸν, εἴ τι εἰδείη καλόν; Καὶ πολλὰ, ἔφη. Ἆρ' οὖν, ἔφη, πάντα ὅμοια ἀλλήλοις; Ὡς οἷόν τε μὲν οὖν, ἔφη, ἀνομοιότατα ἔνια. Πῶς

---

eum Aristippus, an aliquid nosset bonum; ut si quid hujusmodi diceret, verbi gratia, cibum, potum, pecuniam, valetudinem, robur, audaciam, id ipsum ostenderet aliquando malum esse. At *Socrates* sciens quod si quid nos conturbet, optamus ut aliquis nos eo liberet, sic respondebat, ut erat optimum. Tune me rogas, inquit, num febris aliquod bonum sciam? Non equidem, ait. At lippitudinis? Ne hoc quidem. At famis? Nec famis. Atqui, ait, si me rogas, an aliquid noverim bonum, quod nullius bonum sit, equidem neque novi, neque *noscere* desidero.

Ibi rursus Aristippo eum interrogante, an quid pulchrum sciret? multa quidem, ait. An vero inquit, omnia sibi invicem

Digitized by Google

οὖν, ἔφη, τὸ τῷ καλῷ ἀνόμοιον, καλὸν ἂν εἴη; Ὅτι, νὴ Δί', ἔφη, ἔστι μὲν τῷ καλῷ πρὸς δρόμον ἀνθρώπῳ ἄλλος ἀνόμοιος, καλὸς πρὸς πάλην. ἔστι δὲ καὶ ἀσπὶς, καλὴ πρὸς τὸ προβαλέσθαι, ὡς ἔνι ἀνομοιοτάτη τῷ ἀκοντίῳ, καλῷ πρὸς τὸ σφόδρα τε καὶ ταχὺ φέρεσθαι. Οὐδὲν διαφερόντως, ἔφη, ἀποκρίνῃ μοι, ἢ ὅτε σε ἠρώτησα, εἴ τι ἀγαθὸν εἰδείης. Σὺ δ' οἴει, ἔφη, ἄλλο μὲν ἀγαθὸν, ἄλλο δὲ καλὸν εἶναι; οὐκ οἶσθ', ὅτι πρὸς ταὐτὰ πάντα καλά τε καὶ ἀγαθά ἐστι; πρῶτον μὲν γὰρ ἡ ἀρετὴ οὐ πρὸς ἄλλα μὲν ἀγαθὸν, πρὸς ἄλλα δὲ καλόν ἐστιν· ἔπειτα οἱ ἄνθρωποι τὸ αὐτό τε καὶ πρὸς τὰ αὐτὰ καλοὶ κἀγαθοὶ λέγονται· πρὸς τὰ αὐτὰ δὲ καὶ τὰ σώματα

similia? Quantum fieri potest, nonnulla quidem sunt dissimillima. Quonam igitur pacto, ait, id pulchrum fuerit, quod est pulchro dissimile? Quoniam, inquit, homini ad cursum pulchro dissimilis alius est, pulcher ad palaestram. Et scutum ad projiciendum pulchrum, quam dissimillimum est jaculo ad hoc pulchro, ut vehementer celeriterque feratur. Non aliter, ait, respondes, ac quum interrogarem, an aliquid bonum nosces. Tu vero putas, inquit, aliud bonum, aliud pulchrum esse? an ignoras ad eadem referri omnia pulchra et bona? Nam primum virtus non ad alia bonum quiddam est, ad alia vero, pulchrum: deinde homines secundum idem, et ad eadem pulchri bonique dicuntur; et

τῶν ἀνθρώπων καλά τε ἀγαθὰ φαίνεται· πρὸς ταὐτὰ δὲ καὶ τἄλλα πάντα, οἷς ἄνθρωποι χρῶνται, καλά τε καὶ ἀγαθὰ νομίζεται, πρὸς ἅπερ ἂν εὔχρηστα ᾖ. Ἆρ' οὖν, ἔφη, καὶ κόφινος κοπροφόρος καλόν ἐστιν; Νὴ Δί', ἔφη, καὶ χρυσῆ γε ἀσπὶς αἰσχρὸν, ἐὰν πρὸς τὰ ἑαυτῶν ἔργα ὁ μὲν καλῶς πεποιημένος ᾖ, ὁ δὲ κακῶς. Λέγεις σὺ, ἔφη, καλά τε καὶ αἰσχρὰ τὰ αὐτὰ εἶναι; Καὶ νὴ Δία, ἔγωγ', ἔφη, ἀγαθά τε καὶ κακά· πολλάκις γὰρ τό γε λιμοῦ ἀγαθὸν, πυρετοῦ κακόν ἐστιν, καὶ τὸ πυρετοῦ ἀγαθὸν, λιμοῦ κακόν ἐστιν. πολλάκις δὲ τὸ μὲν πρὸς δρόμον καλὸν, πρὸς πάλην αἰσχρόν· τὸ δὲ πρὸς πάλην καλὸν, πρὸς δρόμον αἰσχρόν. πάντα

---

hominum corpora ad eadem pulchra bonaque videntur: denique caetera omnia, quibus utuntur homines, ad eadem pulchra bonaque putantur, ad ea scilicet, quibus sunt accommodata. Num igitur, ait, etiam qualus, quo efferuntur stercora, pulchrum quiddam est? Profecto, ait: atque etiam scutum aureum est turpe, modo ad usus suos ille quidem pulchre sit factus, hoc vero male. Dicis tu, inquit, pulchra et turpia esse eadem? Dico, ait, atque etiam eadem esse bona et mala. Saepe enim quod fami bonum, febri malum est; quod febri bonum, fami malum: saepe quod ad cursum pulchrum est, ad luctam est turpe; quod ad luctam pulchrum, ad cursum turpe: quippe omnia bona sunt ac

Digitized by Google

γὰρ ἀγαθὰ μὲν καὶ καλά ἐστιν, πρὸς ἃ ἂν εὖ ἔχῃ, κακὰ δὲ καὶ αἰσχρὰ, πρὸς ἃ ἂν κακῶς.

Καὶ οἰκίας δὲ λέγων τὰς αὐτὰς καλάς τε εἶναι καὶ χρήσιμους, παιδεύειν ἔμοι γ' ἐδόκει, οἵας χρὴ οἰκοδομεῖσθαι. ἐπεσκόπει δὲ ὧδε· Ἆρά γε τὸν μέλλοντα οἰκίαν, οἵαν χρὴ, ἕξειν, τοῦτο δεῖ μηχανᾶσθαι, ὅπως ἡδίστη τε ἐνδιαιτᾶσθαι, καὶ χρησιμωτάτη ἔσται; Τούτου δὲ ὁμολογουμένου, Οὐκοῦν ἡδὴ μὲν θέρους ψυχεινὴν ἔχειν, ἡδὺ δὲ χειμῶνος ἀλεεινήν; Ἐπειδὴ δὲ καὶ τοῦτο συμφαῖεν, Οὐκοῦν ἐν ταῖς πρὸς μεσημβρίαν βλεπούσαις οἰκίαις τοῦ μὲν χειμῶνος ὁ ἥλιος εἰς τὰς παστάδας ὑπολάμπει, τοῦ δὲ θέρους ὑπὲρ ἡμῶν αὐτῶν καὶ

---

pulchra, ad quae bene se habent; mala vero ac turpia, ad quae male.

Idem quum diceret easdem aedes pulchras et utiles esse, docere mihi quidem videbatur, cujusmodi sint exstruendae. Id autem considerabat hoc modo: annon habiturus qualem deceat domum, hoc moliri debet, ut habitatu sit jucundissima, et utilissima? Hoc autem concesso, ergo jucundum est per aestatem domum habere frigidam; per hyemem, calidam? Quum etiam in hoc consentirent, ergo in aedificiis, quae meridiem spectant, per hyemem sol in cubicula splendet, per aestatem vero supra nos, supraque tecta incedens, umbram suppeditat. Quamobrem si haec ita fieri bonum est, altius aedificanda sunt ea, quae

Digitized by Google

τῶν στεγῶν πορευόμενος σκιὰν παρέχει. οὐκοῦν εἴ γε καλῶς ἔχει ταῦτα οὕτω γίγνεσθαι, οἰκοδομεῖν δεῖ ὑψηλότερα μὲν τὰ πρὸς μεσημβρίαν, ἵνα ὁ χειμερινὸς ἥλιος μὴ ἀποκλείηται· χθαμαλώτερα δὲ τὰ πρὸς ἄρκτον, ἵνα οἱ ψυχροὶ μὴ ἐμπίπτωσιν ἄνεμοι. Ὡς δὲ συνελόντι εἰπεῖν, ὅποι πάσας ὥρας αὐτός τε ἂν ἥδιστα καταφεύγοι, καὶ τὰ ὄντα ἀσφαλέστατα τιθοῖτο, αὕτη ἂν εἰκότως ἡδίστη τε καὶ καλλίστη οἴκησις εἴη. γραφαὶ δὲ καὶ ποικιλίαι πλείονας εὐφροσύνας ἀποστεροῦσιν, ἢ παρέχουσι. Ναοῖς γε μὴν καὶ βωμοῖς χώραν ἔφη εἶναι πρεπωδεστάτην, ἥτις, ἐμφανεστάτη οὖσα, ἀστιβεστάτη εἴη· ἡδὺ μὲν γὰρ ἰδόντας προσεύξασθαι, ἡδὺ δὲ ἁγνῶς ἔχοντας προσιέναι.

---

meridiem spectant, ut sol hybernus non excludatur: humilius vero, quae septentrionem spectant, ne venti frigidi incidant. Ut summatim dicam, quo quis singulis anni temporibus jucundissime se recipiat, ac res suas familiares tutissime collocet, id haud dubie jucundissimum ac pulcherrimum aedificium fuerit. Caeterum picturae variique colores plures delectationes adimunt, quam suppeditant. Templis ac aris locum aiebat esse convenientissimum, qui et apertissimus pariter ac minime tritus esset: nam jucundum, ut videntes orent; jucundum, ut puri accedant.

Digitized by Google

θ'. Πάλιν δὲ ἐρωτώμενος, ἡ ἀνδρία πότερον εἴη διδακτὸν, ἢ φυσικόν; Οἶμαι μὲν, ἔφη, ὥσπερ σῶμα σώματος ἰσχυρότερον πρὸς τοὺς πόνους φύεται, οὕτω καὶ ψυχὴ ψυχῆς ἐρρωμενεστέραν πρὸς τὰ δεινὰ φύσει γίγνεσθαι. ὁρῶ γὰρ ἐν τοῖς αὐτοῖς νόμοις τε καὶ ἔθεσι τρεφομένους πολὺ διαφέροντας ἀλλήλων τόλμῃ. Νομίζω μέντοι πᾶσαν φύσιν μαθήσει καὶ μελέτῃ πρὸς ἀνδρίαν αὔξεσθαι. δῆλον μὲν γὰρ, ὅτι Σκύθαι καὶ Θρᾷκες οὐκ ἂν τολμήσειαν ἀσπίδας καὶ δόρατα λαβόντες Λακεδαιμονίοις διαμάχεσθαι· φανερὸν δὲ, ὅτι καὶ Λακεδαιμόνιοι οὔτ' ἂν Θρᾳξὶν ἐν πέλταις καὶ ἀκοντίοις, οὔτε Σκύθαις ἐν τόξοις ἐθέλοιεν ἂν διαγωνίζεσθαι. Ὁρῶ δ' ἔγωγε καὶ ἐπὶ

9. Rursum interrogatus, num fortitudo acquiri doctrina posit, an esset a natura? Equidem arbitror, ait, ut corpus corpore robustius a natura est ad labores, sic et animam anima firmiorem esse natura ad terribilia. Nam video illos, qui iisdem legibus ac moribus sunt educati, longe inter se audacia differre. Arbitror equidem naturam omnem doctrina et exercitatione ad fortitudinem proficere. Nam patet, Scythas ac Thraces non ausuros sumptis clypeis ac hastis adversus Lacedaemonios dimicare: contraque manifestum est, non etiam Lacedaemonios vel adversus Thraces peltis ac jaculis, vel adversus Scythas arcubus libenter depugnaturos.

Digitized by Google

τῶν ἄλλων πάντων ὁμοίως καὶ φύσει διαφέροντας ἀλλήλων τοὺς ἀνθρώπους, καὶ ἐπιμελείᾳ πολὺ ἐπιδιδόντας. ἐκ δὲ τούτων δῆλόν ἐστιν, ὅτι πάντας χρὴ καὶ τοὺς εὐφυεστέρους καὶ τοὺς ἀμβλυτέρους τὴν φύσιν, ἐν οἷς ἂν ἀξιόλογοι βούλωνται γενέσθαι, ταῦτα καὶ μανθάνειν καὶ μελετᾶν.

Σοφίαν δὲ, καὶ σωφροσύνην οὐ διώριζεν, ἀλλὰ τὸν τὰ μὲν καλά τε καὶ ἀγαθὰ γιγνώσκοντα χρῆσθαι αὐτοῖς, καὶ τὸν τὰ αἰσχρὰ εἰδότα εὐλαβεῖσθαι, σοφόν τε καὶ σώφρονα ἔκρινε. προσερωτώμενος δὲ, εἰ τοὺς ἐπισταμένους μὲν ἃ δεῖ πράττειν, ποιοῦντας δὲ τἀναντία, σοφούς τε καὶ ἐγκρατεῖς εἶναι νομίζοι; Οὐδέν γε μᾶλλον, ἔφη, ἢ ἀσόφους τε

Equidem in aliis etiam omnibus consimiliter homines video natura inter se differre, ac exercitatione multum proficere. Et ex his patet, debere omnes, sive a natura sint praestantiori indole praediti, seu hebetiori, ea discere ac meditari, in quibus excellere velint.

Sapientiam vero, ac animi sanitatem non discernebat; sed qui pulchra et bona cognosceret, et qui turpia sciret, hunc sapientem judicabat ac animi sanum. Interrogatus, num eos, qui scirent, quid agere oporteat, et contraria facerent, sapientes ac temperantes esse putaret; Potius insipientes ac intemperantes, respondit. Om-

Digitized by Google

καὶ ἀκρατεῖς. πάντας γὰρ οἶμαι προαιρουμένους ἐκ τῶν ἐνδεχομένων, ἃ ἂν οἴωνται συμφορώτατα αὐτοῖς εἶναι, ταῦτα πράττειν. νομίζω οὖν τοὺς μὴ ὀρθῶς πράττοντας, οὔτε σοφοὺς, οὔτε σώφρονας εἶναι. Ἔφη δὲ καὶ τὴν δικαιοσύνην, καὶ τὴν ἄλλην πᾶσαν ἀρετὴν, σοφίαν εἶναι· τά τε γὰρ δίκαια, καὶ πάντα, ὅσα ἀρετῇ πράττεται, καλά τε καὶ ἀγαθὰ εἶναι· καὶ οὔτ' ἂν τοὺς ταῦτα εἰδότας ἄλλο ἀντὶ τούτων οὐδὲν προελέσθαι, οὔτε τοὺς μὴ ἐπισταμένους δύνασθαι πράττειν, ἀλλὰ καὶ, ἐὰν ἐγχειρῶσιν, ἁμαρτάνειν· οὕτω καὶ τὰ καλά τε καὶ ἀγαθὰ τοὺς μὲν σοφοὺς πράττειν, τοὺς δὲ μὴ σοφοὺς οὐ δύνασθαι, ἀλλὰ καὶ, ἐὰν ἐγχειρῶσιν, ἁμαρτάνειν. ἐπεὶ

---

nes enim arbitror ex possibilibus, quae putant sibi ipsis esse utilissima eligentes, haec agere. Quamobrem qui non recte agunt, eos nec sapientes nec animo sanos esse statuo. Dicebat cum justitiam, tum omnem aliam virtutem esse sapientiam: nam justa, atque omnia, quae cum virtute aguntur, pulchra et bona esse: neque posse eos, qui haec sciant, aliud pro his quidpiam eligere, neque illos, qui nesciant, praestare posse; imo etiam si praestare conentur, peccare: eodem modo sapientes et pulchra ac bona facere: non sapientes autem id non posse, atque etiam, si conentur, peccare: quum igitur

Digitized by Google

οὖν τά τε δίκαια καὶ τὰ ἄλλα καλά τε καὶ ἀγαθὰ πάντα ἀρετῇ πράττεται, δῆλον εἶναι, ὅτι καὶ δικαιοσύνη, καὶ ἡ ἄλλη πᾶσα ἀρετὴ, σοφία ἐστί.

Μανίαν γε μὴν ἐναντίον μὲν ἔφη εἶναι σοφίᾳ, οὐ μέντοι γε τὴν ἀνεπιστημοσύνην μανίαν ἐνόμιζεν· τὸ δὲ ἀγνοεῖν ἑαυτὸν, καὶ μὴ ἃ οἴδε δοξάζειν τε καὶ οἴεσθαι γιγνώσκειν, ἐγγυτάτω μανίας ἐλογίζετο εἶναι. τοὺς μέντοι πολλοὺς ἔφη, ἃ μὲν οἱ πλεῖστοι ἀγνοοῦσι, τοὺς διημαρτηκότας τούτων οὐ φάσκειν μαίνεσθαι, τοὺς δὲ διημαρτηκότας, ὧν οἱ πολλοὶ γιγνώσκουσι, μαινομένους καλεῖν. Ἐάν τε γάρ τις μέγας οὕτως οἴηται εἶναι, ὥστε κύπτειν τὰς πύλας τοῦ τείχους διεξιὼν,

---

et justa et alia pulchra ac bona omnia cum virtute efficiantur, manifestum esse, tum justitiam tum omnem aliam virtutem, esse sapientiam.

Animi profecto insanitatem sapientiae quiddam esse contrarium dicebat, non tamen inscitiam existimabat insanitatem animi: sed ignorare seipsum, et quae quis nesciat, opinari, ac putare se etiam scire, proximum quiddam esse arbitrabatur animi insanitati. Aiebat vulgus negare illos esse animo insanos, qui ab iis aberrant, quae plurimi ignorant; at qui ab iis aberrant, quae scit vulgus, animo insanos appellare. Nam si quis sibi tam magnus videatur, ut per oppidi portas transiens sese inclinet,

Digitized by Google

ἐάν τε οὕτως ἰσχυρὸς, ὥστ' ἐπιχειρεῖν οἰκίας αἴρεσθαι, ἢ ἄλλῳ τῳ ἐπιτίθεσθαι τῶν πᾶσι δήλων ὅτι ἀδύνατά ἐστι, τοῦτον μαίνεσθαι φάσκειν. τοὺς δὲ μικρὸν διαμαρτάνοντας οὐ δοκεῖν τοῖς πολλοῖς μαίνεσθαι, ἀλλ', ὥσπερ τὴν ἰσχυρὰν ἐπιθυμίαν ἔρωτα καλοῦσιν, οὕτω καὶ τὴν μεγάλην παράνοιαν μανίαν αὐτοὺς καλεῖν.

Φθόνον δὲ σκοπῶν, ὅ, τι εἴη, λύπην μέν τινα ἐξεύρισκεν αὐτὸν ὄντα, οὔτε μέντοι τὴν ἐπὶ φίλων ἀτυχίαις οὔτε τὴν ἐπ' ἐχθρῶν εὐτυχίαις γιγνομένην· ἀλλὰ μόνους ἔφη φθονεῖν τοὺς ἐπὶ ταῖς τῶν φίλων εὐπραξίαις ἀνιωμένους. Θαυμαζόντων δέ τινων, εἴ τις φιλῶν τινα, ἐπὶ τῇ εὐπραξίᾳ αὐτοῦ λυποῖτο, ὑπε-

tamque robustus, ut aedes sustollere conetur, vel aliquid aliud eorum aggrediatur, de quibus constet omnibus, fieri ea non posse, hunc animo insanire aiunt: sed qui paulum quid delinquant, non videntur vulgo insanire animo: sed quemadmodum vehementem libidinem appellant amorem, ita dementiam ingentem animi insanitatem vocant.

Considerans autem invidiam, quid esset, dolorem esse quendam reperiebat, non ex amicorum adversis rebus natum, nec ex secundis inimicorum; sed eos solum aiebat invidere, qui amicorum felicitatem inique ferrent: quumque mirarentur nonnulli, posse aliquem in ejus successu prospero, quem diligeret, dolere; eos commonefaciebat, multos esse ad quosdam

Digitized by Google

μίμνησκεν, ὅτι πολλοὶ οὕτω πρός τινας ἔχουσιν, ὥστε κακῶς μὲν πράττοντας μὴ δύνασθαι περιορᾶν, ἀλλὰ βοηθεῖν ἀτυχοῦσιν, εὐτυχούντων δὲ λυπεῖσθαι. τοῦτο μέντοι φρονίμῳ μὲν ἀνδρὶ οὐκ ἂν συμβῆναι, τοὺς ἠλιθίους δὲ ἀεὶ πάσχειν αὐτό.

Σχολὴν δὲ σκοπῶν, τί εἴη, ποιοῦντας μέν τι τοὺς πλείστους ἔφη εὑρίσκειν. καὶ γὰρ τοὺς πεττεύοντας καὶ τοὺς γελωτοποιοῦντας ποιεῖν τι· πάντας δὲ τούτους ἔφη σχολάζειν· ἐξεῖναι γὰρ αὐτοῖς ἰέναι πράξοντας τὰ βελτίω τούτων. ἀπὸ μέντοι τῶν βελτιόνων ἐπὶ τὰ χείρω ἰέναι, οὐδένα σχολάζειν· εἰ δέ τις ἴοι, τοῦτον, ἀσχολίας αὐτῷ οὔσης, κακῶς ἔφη τοῦτο πράττειν.

---

sic affectos, ut illos male se habentes negligere non possint, succurrantque infelicibus; sin prospere agant, dolent: hoc autem viro prudenti non posse accidere, sed fatuos hoc revera perpeti.

Quum, quid sit otium, consideraret, aiebat se deprehendere, plurimos aliquid facere: quippe illos etiam, qui talis ludunt, et qui faciunt, ut moveatur risus, facere quidem aliquid aiebat; verum hos omnes esse otiosos; licere etenim eis ire ad agendum aliquid hisce melius: a melioribus autem ad pejora ire, otium esse nemini: at si quis iret, hunc, quum ei negotium esset, dicebat male hoc facere.

Digitized by Google

Βασιλεῖς δὲ καὶ ἄρχοντας οὐ τοὺς τὰ σκῆπτρα ἔχοντας ἔφη εἶναι, οὐδὲ τοὺς ὑπὸ τῶν τυχόντων αἱρεθέντας, οὐδὲ τοὺς κλήρῳ λαχόντας, οὐδὲ τοὺς βιασαμένους, οὐδὲ τοὺς ἐξαπατήσαντας, ἀλλὰ τοὺς ἐπισταμένους ἄρχειν. Ὁπότε γάρ τις ὁμολογήσειε τοῦ μὲν ἄρχοντος εἶναι τὸ προστάττειν ὅ, τι χρὴ ποιεῖν, τοῦ δὲ ἀρχομένου τὸ πείθεσθαι, ἐπεδείκνυεν, ἔν τε νηὶ τὸν μὲν ἐπιστάμενον, ἄρχοντα, τὸν δὲ ναύκληρον καὶ τοὺς ἄλλους τοὺς ἐν τῇ νηὶ πάντας πειθομένους τῷ ἐπισταμένῳ· καὶ ἐν γεωργίᾳ, τοὺς κεκτημένους ἀγρούς· καὶ ἐν νόσῳ, τοὺς νοσοῦντας· καὶ ἐν σωμασκίᾳ, τοὺς σωμασκοῦντας· καὶ τοὺς ἄλλους πάντας, οἷς ὑπάρχει τι ἐπιμελείας δεόμενον, ἂν μὲν αὐ-

Reges ac principes non illos dicebat esse, qui sceptra tenerent, nec illos, qui vel ab infimis essent delecti, vel sorte, vi, aut fraudibus eo pervenissent; sed quotquot imperandi periti essent. Nam ubi quis fateretur, principis esse, jubere quod agendum sit; subditi vero, parere: demonstrabat in navi peritum praeesse, nauclerum vero, cum caeteris omnibus, huic perito parere: ibidem in agricultura, illos, qui agros possiderent: in morbo, qui eo laborarent: in corporis exercitio, qui eo uterentur: alios denique omnes, quibus quiddam sit quod curatione indigeat, si quidem se arbitrentur rem intelligere, curare; sin minus, non modo peritis prae-

Digitized by Google

τοὶ ἡγῶνται ἐπίστασθαι, ἐπιμελεῖσθαι· εἰ δὲ μὴ, τοῖς ἐπισταμένοις οὐ μόνον παροῦσι πειθομένους, ἀλλὰ καὶ ἀπόντας μεταπεμπομένους, ὅπως ἐκείνοις πειθόμενοι τὰ δέοντα πράττωσιν. ἐν δὲ ταλασίᾳ καὶ τὰς γυναῖκας ἐπεδείκνυεν ἀρχούσας τῶν ἀνδρῶν, διὰ τὸ τὰς μὲν εἰδέναι ὅπως χρὴ ταλασιουργεῖν, τοὺς δὲ μὴ εἰδέναι. Εἰ δέ τις πρὸς ταῦτα λέγοι, ὅτι τῷ τυράννῳ ἔξεστι μὴ πείθεσθαι τοῖς ὀρθῶς λέγουσι· Καὶ πῶς ἄν, ἔφη, ἐξείη μὴ πείθεσθαι, ἐπικειμένης γε ζημίας, ἐάν τις τῷ εὖ λέγοντι μὴ πείθηται; ἐν ᾧ γὰρ ἄν τις πράγματι μὴ πείθηται τῷ εὖ λέγοντι, ἁμαρτήσεται δήπου, ἁμαρτάνων δὲ ζημιωθήσεται. Εἰ δὲ φαίη τις τῷ τυράννῳ ἐξεῖναι καὶ ἀποκτεῖ-

---

sentibus obtemperare, sed etiam absentes arcessere, ut ipsis parentes, quae oporteat, agant. In lanificio etiam mulieres viris praeesse demonstrabat, quod illae sciant, quo pacto exercendum sit lanificium; viri autem ignorent. Si quis ad haec diceret, posse tyrannum recte monentibus non obtemperare: Et qui non obtemperare possit, respondebat, quum si quis recte monenti non obtemperet, damnum sit propositum? Nam quacunque in re non paret aliquis recte monenti nimirum peccabit: qui vero peccat, damno multabitur. Si quis diceret, posse tyrannum etiam occidere eum, qui recte sapit:

Digitized by Google

ναι τὸν εὖ φρονοῦντα· Τὸν δὲ ἀποκτείναντας, ἔφη, τοὺς κρατίστους τῶν συμμάχων οἴει ἀζήμιον γίγνεσθαι, ἢ, ὡς ἔτυχε, ζημιοῦσθαι; πότερον γὰρ ἂν μᾶλλον οἴει σώζεσθαι τὸν ταῦτα ποιοῦντα, ἢ οὕτω καὶ τάχιστ' ἂν ἀπολέσθαι;

Ἑρμίνου δέ τινος αὐτὸν, τί δοκοίη αὐτῷ κράτιστον ἀνδρὶ ἐπιτήδευμα εἶναι, ἀπεκρίνατο, Εὐπραξίαν. Ἑρμίνου δὲ πάλιν, εἰ καὶ τὴν εὐτυχίαν ἐπιτήδευμα νομίζοι εἶναι, Πᾶν μὲν οὖν τοὐναντίον ἔγωγ', ἔφη, τύχην καὶ πρᾶξιν ἡγοῦμαι· τὸ μὲν γὰρ μὴ ζητοῦντα ἐπιτυχεῖν τινι τῶν δεόντων, εὐτυχίαν οἶμαι εἶναι· τὸ δὲ μαθόντα τι καὶ μελετήσαντα εὖ

Tu vero existimas, inquit, eum, qui praestantissimos quosque ex sociis occidat, vel nullum, vel leve damnum pati? utrum enim arbitraris eum, qui hoc perpetret, incolumem posse manere, an potius hoc pacto etiam pessime perieturum?

Quum autem quidam eum interrogaret, quodnam ipsi videretur vitae institutum homini optimum; respondit, Actionem bonam e consilio natam. At quum rursus interrogaret, an etiam fortunam bonam pro instituto duceret? Equidem, ait, fortunam et actionem e consilio natam prorsus esse contraria statuo. Nam si quis nihil quaerens, aliquid necessarium consequatur, id fortunam esse bonam puto: at is, qui doctrina et exercitatione quid

Digitized by Google

ποιεῖν, εὐπραξίαν νομίζω· καὶ οἱ τοῦτο ἐπιτηδεύοντες, δοκοῦσί μοι εὖ πράττειν.

Καὶ ἀρίστους δὲ καὶ θεοφιλεστάτους ἔφη εἶναι, ἐν μὲν γεωργίᾳ, τοὺς τὰ γεωργικὰ εὖ πράττοντας, ἐν δὲ ἰατρείᾳ, τοὺς τὰ ἰατρικὰ, ἐν δὲ πολιτείᾳ, τοὺς τὰ πολιτικά· τὸν δὲ μηδὲν εὖ πράττοντα, οὔτε χρήσιμον οὐδὲν ἔφη εἶναι οὔτε θεοφιλῆ.

ί. Ἀλλὰ μὴν καὶ εἴ ποτε τῶν τὰς τέχνας ἐχόντων, καὶ ἐργασίας ἕνεκα χρωμένων αὐταῖς, διαλέγοιτό τινι, καὶ τούτοις ὠφέλιμος ἦν. εἰσελθὼν μὲν γάρ ποτε πρὸς Παῤῥάσιον τὸν ζωγράφον, καὶ διαλεγόμενος αὐτῷ, Ἆρα, ἔφη, ὦ Παῤῥάσιε, ἡ γραφικὴ ἐστιν [ἡ] εἰκασία τῶν ὁρωμένων; τὰ γοῦν κοῖλα καὶ τὰ

recte facit, id actionem esse bonam e consilio natam duco: quique ita vitam instituunt, ii mihi videntur bene agere.

Homines optimos Deoque acceptissimos aiebat esse, in agricultura, qui recte faciunt, quae agriculturae sunt; in medicina, qui res medicas; in republica, qui res civiles: sed qui nihil recte agit, eum neque utilem ad quidquam esse dicebat, neque acceptum Deo.

10. Atqui si quando cum artificibus colloqueretur, quî quaestus gratia artificiis uterentur, etiam his proderat. Nam quum aliquando ad Parrhasium pictorem ingressus esset, cumque eo colloqueretur, Num pictura, mi Parrhasi, ait, earum rerum est repraesenta-

Digitized by Google

ὑψηλὰ, καὶ τὰ σκοτεινὰ καὶ τὰ φωτεινὰ, καὶ τὰ σκληρὰ καὶ τὰ μαλακὰ, καὶ τὰ τραχέα καὶ τὰ λεῖα, καὶ τὰ νέα καὶ τὰ παλαιὰ σώματα διὰ τῶν χρωμάτων ἀπεικάζοντες ἐκμιμεῖσθε. Ἀληθῆ λέγεις, ἔφη. Καὶ μὴν τά γε καλὰ εἴδη ἀφομοιοῦντες, ἐπειδὴ οὐ ῥᾴδιον ἑνὶ ἀνθρώπῳ περιτυχεῖν ἄμεμπτα πάντα ἔχοντι, ἐκ πολλῶν συναγαγόντες τὰ ἐξ ἑκάστου κάλλιστα, οὕτως ὅλα τὰ σώματα καλὰ ποιεῖτε φαίνεσθαι; Ποιοῦμεν γὰρ, ἔφη, οὕτως.

Τί γάρ; ἔφη, τὸ πιθανώτατόν τε καὶ ἥδιστον καὶ φιλικώτατον καὶ ποθεινότατον καὶ ἐρασμιώτατον ἀπομιμεῖσθε τῆς ψυχῆς ἦθος; ἢ οὐδὲ μιμητόν ἐστι τοῦτο; Πῶς γὰρ

---

tio, quae cernuntur? Nam et concava et eminentia, et obscura et lucida, et dura et mollia, et aspera et laevia, et nova et vetera corpora per colores repraesentando exprimitis. Vere dicis, ait. Quum vero formas elegantes imitamini, quia non facile est unum hominem nancisci omnia irreprehensibilia habentem, de multis colligentes ea quae in singulis pulcherrima sunt, ita tota corpora, ut pulchra videantur, efficitis? Sic facimus, ait.

Quid vero? inquit, num indolem animae ad suadendum aptissimam, et suavissimam, et amicissimam, et desiderabilem maxime, maximeque amabilem imitamini? an vero illa inimitabilis est? Quo pacto, mi So-

Digitized by Google

ἂν, ἔφη, μιμητὸν εἴη, ὦ Σώκρατες, ὃ μήτε συμμετρίαν, μήτε χρῶμα, μήτε, ὧν σὺ εἶπας ἄρτι, μηδὲν ἔχει, μηδὲ ὅλως ὁρατόν ἐστιν; Ἆρ' οὖν, ἔφη, γίγνεται ἐν ἀνθρώπῳ τά τε φιλοφρόνως καὶ τὸ ἐχθρῶς βλέπειν πρός τινας; Ἔμοιγε δοκεῖ, ἔφη. Οὐκοῦν τοῦτό γε μιμητὸν ἐν τοῖς ὄμμασιν; Καὶ μάλα, ἔφη. Ἐπὶ δὲ τοῖς τῶν φίλων ἀγαθοῖς καὶ τοῖς κακοῖς ὁμοίως σοι δοκοῦσιν ἔχειν τὰ πρόσωπα οἵ τε φροντίζοντες καὶ οἱ μή; Μὰ Δί', οὐ δῆτα, ἔφη· ἐπὶ μὲν γὰρ τοῖς ἀγαθοῖς φαιδροὶ, ἐπὶ δὲ τοῖς κακοῖς σκυθρωποὶ γίγνονται. Οὐκοῦν, ἔφη, καὶ ταῦτα δυνατὸν ἀπεικάζειν; Καὶ μάλα, ἔφη.

Ἀλλὰ μὴν καὶ τὸ μεγαλοπρεπές τε καὶ

---

crates, inquit, possit hoc esse imitabile, quod neque proportionem, neque colorem, neque quidquam habet illorum, quae modo tu commemorabas, neque omnino cerni potest? Annon, inquit, usu venit homini, ut blande vel inimice quosdam intueatur? Ita mihi videtur, ait. Ergo in oculis est, quod exprimi potest? Omnino, inquit. At in amicorum rebus secundis et adversis iidemne vultus esse tibi videntur eorum, qui soliciti sunt, et qui non? Nequaquam ait: nam in prosperis hilares, in adversis tristes sunt. Ergo possunt, ait, haec quoque repraesentari? Omnino, respondit *Parrhasius*.

Quinetiam et magnificum et liberale, et humile et illiberale, et animo sanum et prudens, et

Digitized by Google

ἐλευθέριον, καὶ τὸ ταπεινόν τε καὶ ἀνελεύθερον, καὶ τὸ σωφρονητικόν τε καὶ φρόνιμον, καὶ τὸ ὑβριστικόν τε καὶ ἀπειροκάλον καὶ διὰ τοῦ προσώπου καὶ διὰ τῶν σχημάτων, καὶ ἑστώτων καὶ κινουμένων ἀνθρώπων διαφαίνει. Ἀληθῆ λέγεις, ἔφη. Οὐκοῦν καὶ ταῦτα μιμητά; Καὶ μάλα, ἔφη. Πότερον οὖν, ἔφη, νομίζεις ἥδιον ὁρᾶν τοὺς ἀνθρώπους, δι' ὧν τὰ καλά τε κἀγαθὰ καὶ ἀγαπητὰ ἤθη φαίνεται, ἢ δι' ὧν τὰ αἰσχρά τε καὶ πονηρὰ καὶ μισητά; Πολὺ νὴ Δί', ἔφη, διαφέρει, ὦ Σώκρατες.

Πρὸς δὲ Κλείτωνα τὸν ἀνδριαντοποιὸν εἰσελθών ποτε, καὶ διαλεγόμενος αὐτῷ, Ὅτι μέν, ἔφη, ὦ Κλείτων, ἀλλοίους ποιεῖς δρομεῖς

---

contumeliosum ac honesti ignarum tam per vultum quam per gestus hominum seu stantium seu se moventium elucet. Vere dicis, ait, Annon et haec imitanda? Omnino, inquit. Utrum ergo, ait, illa cernere lubentius homines putas, per quae honesti, boni, amabiles mores elucent; an per quae turpes, mali ac odiosi? Multum profecto interest, inquit, mi Socrates.

Etiam ingressus aliquando ad Clitonem statuarium, et cum eo collocutus, Varios te, mi Clito, ait, cursores, luctatores, pugiles, pancratiastas fingere video et scio: quod autem maxime recreat homines

Digitized by Google

τε καὶ παλαιστὰς καὶ πύκτας καὶ παγκρατιαστὰς, ὁρῶ τε καὶ οἶδα· ὃ δὲ μάλιστα ψυχαγωγεῖ διὰ τῆς ὄψεως τοὺς ἀνθρώπους, τὸ ζωτικὸν φαίνεσθαι, πῶς τοῦτο ἐνεργάζῃ τοῖς ἀνδριάσιν; Ἐπεὶ δὲ ἀπορῶν ὁ Κλείτων οὐ ταχὺ ἀπεκρίνατο, Ἆρ', ἔφη, τοῖς τῶν ζώντων εἴδεσιν ἀπεικάζων τὸ ἔργον, ζωτικωτέρους ποιεῖς φαίνεσθαι τοὺς ἀνδριάντας; Καὶ μάλα, ἔφη. Οὐκοῦν τά τε ὑπὸ τῶν σχημάτων καταστρώμενα καὶ τὰ ἀναστρώμενα ἐν τοῖς σώμασι, καὶ τὰ συμπιεζόμενα καὶ τὰ διελκόμενα, καὶ τὰ ἐντεινόμενα καὶ τὰ ἀνιέμενα ἀπεικάζων, ὁμοιότερά τε τοῖς ἀληθινοῖς καὶ πιθανώτερα ποιεῖς φαίνεσθαι; Πάνυ μὲν οὖν, ἔφη. Τὸ δὲ καὶ τὰ πάθη τῶν ποιούντων

---

aspectu, vivax scilicet apparere, quo pacto id statuis indis? Heic quum dubitans Clito non celeriter responderet: An, inquit, opus tuum formis viventium assimilando, statuas vivaciores videri facis? Omnino, inquit. Nonne igitur, dum quae per gestus deorsum sursumque trahuntur in corporibus, et quae comprimuntur et quae diducuntur, et quae intenduntur et quae remittuntur, exprimis, facis, ut similiora veris, magisque consentanea appareant? Maxime scilicet, inquit. At vero etiam affectiones corporum aliquid agentium imitari, an non delectationem aliquam spectantibus affert? Verisimile est, ait. Quamobrem pugnan-

Digitized by Google

τι σωμάτων ἀπομιμεῖσθαι, οὐ ποιεῖ τινα τέρψιν τοῖς θεωμένοις; Εἰκός γ' οὖν, ἔφη. Οὐκοῦν καὶ τῶν μὲν μαχομένων ἀπειλητικὰ τὰ ὄμματα ἀπεικαστέον, τῶν δὲ νενικηκότων εὐφραινομένων ἡ ὄψις μιμητέα; Σφόδρα γε, ἔφη. Δεῖ ἄρα, ἔφη, τὸν ἀνδριαντοποιὸν τὰ τῆς ψυχῆς ἔργα τῷ εἴδει προσεικάζειν.

Πρὸς δὲ Πιστίαν τὸν θωρακοποιὸν εἰσελθών, (ἐπιδείξαντος αὐτοῦ τῷ Σωκράτει θώρακας εὖ εἰργασμένους) Νὴ τὴν Ἥραν, ἔφη, καλόν γε, ὦ Πιστία, τὸ εὕρημα, τὸ τὰ μὲν δεόμενα σκέπης τοῦ ἀνθρώπου σκεπάζειν τὸν θώρακα, ταῖς δὲ χερσὶ μὴ κωλύειν χρῆσθαι. Ἀτὰρ, ἔφη, λέξον μοι, ὦ Πιστία, διὰ τί οὔτε ἰσχυροτέρους οὔτε πολυτελεστέρους τῶν ἄλλων ποιῶν τοὺς θώρακας, πλείονος πωλεῖς;

tium oculi repraesentandi sunt ut minaces, victorum vero vultus effingendus, quasi laetantium. Prorsus, inquit. Ergo statuarium, inquit, animi actiones per formam repraesentare oportet.

Itidem ad Pistiam fabrum loricarium ingressus, (quum is Socrati loricas egregie factas ostenderet) Profecto, ait, mi Pistia, pulchrum hoc inventum est, tegere loricam eas hominis partes quas tegi necesse est; neque tamen impedire, quo minus quis manibus utatur. Verum, inquit, dicito mihi, mi Pistia, quamobrem nec firmiores nec praestantiores loricas faciens, quam alii, pluris tamen eas vendis? Propterea, mi Socrates, ait,

Digitized by Google

"Οτι, ἔφη, ὦ Σώκρατες, εὐρυθμοτέρους ποιῶ. Τὸν ῥυθμὸν δ', ἔφη, πότερα μέτρῳ ἢ σταθμῷ ἐπιδεικνύων, πλείονος τιμᾷ; οὐ γὰρ δὴ ἴσους γε πάντας οὐδὲ ὁμοίους οἶμαί σε ποιεῖν, εἴγε ἁρμόττοντας ποιεῖς. Ἀλλὰ νὴ Δί', ἔφη, ποιῶ· οὐδὲν γὰρ ὄφελός ἐστι θώρακος ἄνευ τούτου. Οὐκοῦν, ἔφη, σώματά γε ἀνθρώπων τὰ μὲν εὔρυθμά ἐστι, τὰ δὲ ἄῤῥυθμα; Πάνυ μὲν οὖν, ἔφη. Πῶς οὖν, ἔφη, τῷ ἀῤῥύθμῳ σώματι ἁρμόττοντα τὸν θώρακα εὔρυθμον ποιεῖς; "Ωσπερ καὶ ἁρμόττοντα, ἔφη· ὁ ἁρμόττων γάρ ἐστιν εὔρυθμος. Δοκεῖς μοι, ἔφη ὁ Σωκράτης, τὸ εὔρυθμον οὐ καθ' ἑαυτὸ λέγειν, ἀλλὰ πρὸς τὸν χρώμενον· ὥσπερ ἂν εἰ φαίης ἀσπίδα, ᾧ ἐὰν ἁρμόττῃ, τούτῳ εὖ-

---

quod concinniores facio. Concinnitatem vero an mensura vel pondere demonstrans, pluris aestimas? nec enim loricas omnes aequales, neque similes te puto facere, siquidem congruentes facis. Sic facio, inquit: nam absque illo nullus loricae usus fuerit. Ergo, inquit, etiam hominum corpora partim concinna sunt, partim inconcinna. Maxime, inquit. Quo igitur pacto, inquit, loricam inconcinno corpori congruentem, concinnam efficis? Sic nimirum, ait, ut et congruentem facio: nam quae congruit, concinna est. Videris mihi, ait Socrases, concinnitatem non per se appellare, sed respectu utentis: quemadmodum si dicas

ρυθμον εἶναι, καὶ χλαμύδα, καὶ τἄλλα ὡσαύτως ἔοικεν ἔχειν τῷ σῷ λόγῳ. ἴσως δὲ καὶ ἄλλο τι οὐ μικρὸν ἀγαθὸν τῷ ἁρμόττειν πρόσεστι. Δίδαξον, ἔφη, ὦ Σώκρατες, εἴ τι ἔχεις. Ἧττον, ἔφη, τῷ βάρει πιέζουσιν οἱ ἁρμόττοντες τῶν ἀναρμόστων, τὸν αὐτὸν σταθμὸν ἔχοντες. οἱ μὲν γὰρ ἀνάρμοστοι, ἢ ὅλοι ἐκ τῶν ὤμων κρεμάμενοι, ἢ καὶ ἄλλο τι τοῦ σώματος σφόδρα πιέζοντες, δύσφοροι καὶ χαλεποὶ γίγνονται· οἱ δὲ ἁρμόττοντες, διειλημμένοι τὸ βάρος τὸ μὲν ὑπὸ τῶν κλειδῶν καὶ ἐπωμίδων, τὸ δὲ ὑπὸ τῶν ὤμων, τὸ δὲ ὑπὸ τοῦ στήθους, τὸ δὲ ὑπὸ τοῦ νώτου, τὸ δὲ ὑπὸ τῆς γαστρὸς, ὀλίγου δεῖν οὐ φορήματι, ἀλλὰ προσθήματι ἐοίκασιν. Εἴ-

clypeum concinnum illi esse, cui congruit; itidemque chlamydem, ac caeteras res se habere ex tuo quidem sermone constat. Fortassis autem aliud quoddam non exiguum bonum inest huic congruentiae. Doce vero me, mi Socrates, ait, si quid habes. Minus, inquit, pondere suo premunt loricae congruae, quam incongruae, licet pondus aequale habent. Nam incongruae, vel ab humeris totae dependendo, vel aliam partem corporis aliquam vehementer premendo, gestatu difficiles ac molestae fiunt: congruae vero, quum onus partim a claviculis et parte scapulis vicina, partim ab humeris, a pectore, a tergo, a ventre distributum sublevetur, prope

Digitized by Google

ρηκας, ἔφη, αὐτὸ, δι' ὅπερ ἔγωγε τὰ ἐμὰ ἔργα πλείστου ἄξια νομίζω εἶναι. ἔνιοι μέντοι τοὺς ποικίλους καὶ τοὺς ἐπιχρύσους θώρακας μᾶλλον ὠνοῦνται. Ἀλλὰ μὴν, ἔφη, εἴγε διὰ ταῦτα μὴ ἁρμόττοντας ὠνοῦνται, κακὸν ἔμοιγε δοκοῦσι ποικίλον τε καὶ ἐπίχρυσον ὠνεῖσθαι. Ἀτὰρ, ἔφη, τοῦ σώματος μὴ μένοντος, ἀλλὰ τοτὲ μὲν κυρτουμένου, τοτὲ δὲ ὀρθουμένου, πῶς ἂν ἀκριβεῖς θώρακες ἁρμόττοιεν; Οὐδαμῶς, ἔφη. Λέγεις, ἔφη, ἁρμόττειν οὐ τοὺς ἀκριβεῖς, ἀλλὰ τοὺς μὴ λυποῦντας ἐν τῇ χρείᾳ. Αὐτὸς, ἔφη, τοῦτο λέγεις, ὦ Σώκρατες, καὶ τὰ νῦν ὀρθῶς ἀποδέχῃ.

---

non gestaminis, sed appendicis esse loco videntur. Dixisti hoc ipsum, ait, propter quod equidem opera mea maximi esse pretii duco. Nonnulli tamen thoraces varios ac deauratos lubentius emunt. At vero, inquit *Socrates*, si propterea non congruentes emunt, varium mihi et inauratum malum emere videntur. Quum autem corpus in eodem situ non manet, ait, sed modo curvatur, modo erigitur, quo pacto accurati thoraces congruere possunt? Nequaquam, inquit. Dicis tu congruere, ait, non accuratos, sed in ipso usu non molestos. Id vero, mi Socrates, ait, ipse dico, et nunc quidem recte rem accipis.

Digitized by Google

ιά. Γυναικὸς δέ ποτε οὔσης ἐν τῇ πόλει καλῆς, ᾗ ὄνομα ἦν Θεοδότη, καὶ οἵας συνεῖναι τῷ πείθοντι, μνησθέντος αὐτῆς τῶν παρόντων τινὸς, καὶ εἰπόντος, ὅτι κρεῖττον εἴη λόγου τὸ κάλλος τῆς γυναικὸς, καὶ ζωγράφους φήσαντος εἰσιέναι πρὸς αὐτὴν ἀπεικασομένους, οἷς ἐκείνην ἐπιδεικνύειν ἑαυτῆς ὅσα καλῶς ἔχοι· Ἰτέον ἂν εἴη θεασομένους, ἔφη ὁ Σωκράτης· οὐ γὰρ δὴ ἀκούσασί γε τὸ λόγου κρεῖττόν ἐστι καταμαθεῖν. Καὶ ὁ διηγησάμενος, οὐκ ἂν φθάνοιτ', ἔφη, ἀκολουθοῦντες. Οὕτω μὲν δὴ πορευθέντες πρὸς τὴν Θεοδότην, καὶ καταλαβόντες ζωγράφῳ τινὶ παρεστηκυῖαν, ἐθεάσαντο. παυσαμένου δὲ τοῦ ζωγράφου, ὦ ἄνδρες, ἔφη ὁ Σωκράτης, πότερον ἡμᾶς δεῖ

---

11. Caeterum quum aliquando in urbe mulier quaedam esset formosa, cui nomen erat Theodota, et qualis cum persuadente consuescebat; facta ejus mentione ab aliquo eorum, qui aderant, dicente, mulieris pulchritudinem verba exsuperare, atque etiam narrante, pictores ad eam commeare assimilaturos, quibus illa commonstraret quaecunque honeste posset; Nos etiam, ait Socrates, hanc spectatum ire par est: nec enim audientibus licet cognoscere id, quod omnem sermonem superat. Tum qui haec narraverat, Quin confestim, ait, sequimini. Itaque quum ad Theodotam ivissent, et hanc pictori cuidam astantem reperissent, inspicie-

Digitized by Google

μᾶλλον Θεοδότῃ χάριν ἔχειν, ὅτι ἡμῖν τὸ κάλλος ἑαυτῆς ἐπέδειξεν, ἢ ταύτην ἡμῖν, ὅτι ἐθεασάμεθα; Ἆρ' εἰ μὲν ταύτῃ ὠφελιμωτέρα ἐστὶν ἡ ἐπίδειξις, ταύτην ἡμῖν χάριν ἐκτέον· εἰ δὲ ἡμῖν ἡ θέα, ἡμᾶς ταύτῃ; Εἰπόντος δέ τινος, ὅτι δίκαια λέγοι, Οὐκοῦν, ἔφη, αὕτη μὲν ἤδη τε τὸν παρ' ἡμῶν ἔπαινον κερδαίνει, καὶ, ἐπειδὰν εἰς πλείους διαγγείλωμεν, πλείω ὠφεληθήσεται. ἡμεῖς δὲ ἤδη τε, ὧν ἐθεασάμεθα, ἐπιθυμοῦμεν ἅψασθαι, καὶ ἄπιμεν ὑποκνιζόμενοι, καὶ ἀπελθόντες ποθήσομεν. ἐκ δὲ τούτων εἰκὸς, ἡμᾶς μὲν θεραπεύειν, ταύτην δὲ θεραπεύεσθαι. Καὶ ἡ Θεοδότη, νὴ Δί', ἔφη, εἰ τοίνυν ταῦθ'

---

bant: quumque cessasset pictor, O viri, inquit Socrates, utrum nos gratiam potius habere Theodotae convenit, quod pulchritudinem suam nobis ostenderit, an nobis illam, quod eam spectaverimus? Num si quidem haec ostensio ipsi utilior est, nobis habere gratiam debet: sin autem nobis contemplatio, nos ipsi? Et quum quidam dixisset, justa eum dicere: Ergo, inquit, haec quidem modo laudem hanc a nobis lucratur, ac, posteaquam ad plures rem enunciaverimus, plus utilitatis capiet: nos autem quae jam spectavimus, attingere cupimus, ac abimus nonnihil titillati, ac ubi discesserimus, desiderabimus. De quibus consentaneum est, nos quidem hanc colere, ipsam vero coli. Tum Theodota, Pro-

Digitized by Google

οὕτως ἔχει, ἐμὲ ἂν δέοι ὑμῖν τῆς θέας χάριν ἔχειν.

Ἐκ δὲ τούτου ὁ Σωκράτης, ὁρῶν αὐτήν τε πολυτελῶς κεκοσμημένην, καὶ μητέρα παροῦσαν αὐτῇ ἐν ἐσθῆτι καὶ θεραπείᾳ οὐ τῇ τυχούσῃ, καὶ θεραπαίνας πολλὰς καὶ εὐειδεῖς, καὶ οὐδὲ ταύτας ἠμελημένως ἐχούσας, καὶ τοῖς ἄλλοις τὴν οἰκίαν ἀφθόνως κατεσκευασμένην, Εἰπέ μοι, ἔφη, ὦ Θεοδότη, ἔστι σοι ἀγρός; Οὐκ ἔμοιγ', ἔφη. Ἀλλ' ἆρα οἰκία προσόδους ἔχουσά; Οὐδὲ οἰκία, ἔφη. Ἀλλὰ μὴ χειροτέχναι τινές; Οὐδὲ χειροτέχναι, ἔφη. Πόθεν οὖν, ἔφη, τὰ ἐπιτήδεια ἔχεις; Ἐάν τις, ἔφη, φίλος μοι γενόμενος, εὖ ποιεῖν ἐθέλῃ, οὗτός μοι βίος ἐστί.

---

fecto, inquit, si haec ita se habent, me vobis spectationis caussa gratiam habere oporteat.

Deinde Socrates, quum eam sumptuose ornatam videret, ac matrem cum ea in veste et cultu non vulgari, itemque multas ac formosas ancillas, ne illas quidem neglectim habitas, aliisque rebus abunde instructas aedes, Dic mihi, ait, mea Theodota, estne tibi praedium? Non mihi, inquit. At domus cum proventibus? Nec domus, ait. At servi artes manuarias exercentes? Nec illi quidem, ait. Unde igitur habes necessaria, inquit? Si quis, ait, amicus mihi factus, bene mihi facere velit, is mihi pro victu est. Profecto, ait, mea Theodota, praeclara illa possessio est, multoque potius

Digitized by Google

Νὴ τὴν Ἥραν, ἔφη, ὦ Θεοδότη, καλόν γε τὸ κτῆμα, καὶ πολλῷ κρεῖττον οἰῶν τε καὶ βοῶν καὶ αἰγῶν, φίλων ἀγέλην κεκτῆσθαι. Ἀτὰρ, ἔφη, πότερον τῇ τύχῃ ἐπιτρέπεις, ἐάν τις σοὶ φίλος, ὥσπερ μυῖα, προσπτῆται, ἢ καὶ αὐτή τι μηχανᾷ; Πῶς δ' ἄν, ἔφη, ἐγὼ τούτου μηχανὴν εὕροιμι; Πολὺ νὴ Δί', ἔφη, προσηκόντως μᾶλλον ἢ αἱ φάλαγγες· οἶσθα γὰρ, ὡς ἐκεῖναι θηρῶσι τὰ πρὸς τὸν βίον· ἀράχνια γὰρ δήπου λεπτὰ ὑφηνάμεναι, ὅ, τι ἂν ἐνταῦθα ἐμπέσῃ, τούτῳ τροφῇ χρῶνται.

Καὶ ἐμοὶ οὖν, ἔφη, συμβουλεύεις ὑφήνασθαί τι θήρατρον; Οὐ γὰρ δὴ, ἔφη, οὕτω γε ἀτεχνῶς οἴεσθαι χρὴ τὸ πλείστου ἄξιον ἄγρευμα, φίλους, θηράσειν. οὐχ ὁρᾷς, ὅτι καὶ

---

est amicorum habere gregem, quam ovium, boum, caprarum. Verum, ait, an rem fortunae committis, ut aliquis ad te amicus instar muscae advolet, an et ipsa nonnihil machinaris? Qui possim ego, inquit, artis aliquid ad hoc invenire? Multo, inquit, convenientius, quam araneae. Nosti enim quo pacto illae victum venentur: telas enim tenues texunt, et quicquid in eas inciderit, eo, cibi loco, utuntur.

Ergo mihi quoque, ait, consulis, ut rete aliquod texam? Non enim scilicet adeo te sine arte putare debes praedam pretiosissimam, amicos, venaturam. Non vides eos, qui etiam lepores rem non magni aestimandam venantur, multa artificiose moliri? Nam quum

Digitized by Google

τὸ μικροῦ ἄξιον, τοὺς λαγὼς, θηρῶντες πολλὰ τεχνάζουσιν; Ὅτι μὲν γὰρ τῆς νυκτὸς νέμονται, κύνας νυκτερευτικὰς πορισάμενοι, ταύταις αὐτοὺς θηρῶσιν· ὅτι δὲ μεθ' ἡμέραν ἀποδιδράσκουσιν, ἄλλας κτῶνται κύνας, αἵτινες, ἢ ἂν ἐκ τῆς νομῆς εἰς τὴν εὐνὴν ἀπέλθωσι, τῇ ὀσμῇ αἰσθανόμεναι, εὑρίσκουσιν αὐτούς· ὅτι δὲ ποδώκεις εἰσὶν, ὥστε καὶ ἐκ τοῦ φανεροῦ τρέχοντες ἀποφεύγειν, ἄλλας αὖ κύνας ταχείας παρασκευάζονται, ἵνα κατὰ πόδας ἀλίσκωνται· ὅτι δὲ καὶ ταύτας αὐτῶν τινες ἀποφεύγουσι, δίκτυα ἱστᾶσιν εἰς τὰς ἀτραπούς, ἢ φεύγουσιν, ἵν' εἰς ταῦτα ἐμπίπτοντες συμποδίζωνται. Τίνι οὖν, ἔφη, τοιούτῳ φίλους ἂν ἐγὼ θηρῴην; Ἐὰν νὴ Δί', ἔφη, ἀντὶ κυνὸς κτήσῃ, ὅστις σοι ἰχνεύων μὲν τοὺς

illi noctu se pascant, comparatis canibus nocturnis eos venantur: et quia interdiu aufugiunt, alias acquirant canes, quae ex odore sentientes, quo se ex pastu ad cubile receperint, eos reperiant: quia vero pedibus celeres sunt, ut etiam ex oculis effugere currendo possint, rursus alias canes veloces comparant, ut pedum velocitate capiantur: rursum quia lepores nonnulli has quoque effugiunt, retia statuunt iis in semitis, per quas fugiunt, ut, in ea delapsi, compedibus quibusdam implicentur. Qua igitur re tali, ait, possim amicos ego venari? Si profecto canis loco, inquit, comparaveris aliquem, qui indagando tibi formae studiosos ac locupletes

φιλοκάλους καὶ πλουσίους εὑρήσει, εὑρὼν δὲ μηχανήσεται, ὅπως ἐμβάλῃ αὐτοὺς εἰς τὰ σὰ δίκτυα.

Καὶ ποῖα, ἔφη, ἐγὼ δίκτυα ἔχω; Ἓν μὲν δήπου, ἔφη, καὶ μάλα εὖ περιπλεκόμενον, τὸ σῶμα· ἐν δὲ τούτῳ ψυχήν, ἣ καταμανθάνεις, καὶ ὡς ἂν ἐμβλέπουσα χαρίζοιο, καὶ ὅ, τι ἂν λέγουσα εὐφραίνοις, καὶ ὅτι δεῖ τὸν μὲν ἐπιμελόμενον ἀσμένως ὑποδέχεσθαι, τὸν δὲ τρυφῶντα ἀποκλείειν, καὶ ἀῤῥωστήσαντός γε φίλου φροντιστικῶς ἐπισκέψασθαι, καὶ καλόν τι πράξαντος σφόδρα συνησθῆναι, καὶ τῷ σφόδρα σοῦ φροντίζοντι ὅλῃ τῇ ψυχῇ κεχαρίσθαι. φιλεῖν γε μήν, εὖ οἶδ', ὅτι ἐπίστασαι οὐ μόνον μαλακῶς, ἀλλὰ καὶ εὐνοϊκῶς· καὶ ὅτι ἄριστοί σοι εἰσὶν οἱ φίλοι, οἶδ' ὅτι οὐ λό-

inveniat; atque ubi invenerit, hoc machinetur, ut eos in retia tua conjiciat.

Et qualianam, inquit, retia mihi sunt? Unum certe, ait, atque etiam optime nexum, corpus; atque in hoc anima, qua intelligere potes, quo pacto homines intuendo grata esse possis; quid dicens, exhilarare possis; et quod suscipiendus sit comiter tui studiosus, excludendus vero, qui te ludibrio habeat; solicite invisendus amicus, qui aegrotet; vehementer congratulandum ei, qui praeclare quid gesserit; denique tota anima gratificandum illi, cui admodum curae sis. Amare quidem certe scio te non modo molliter nosse, sed et benevole: et ut optimi tibi

Digitized by Google

γῳ, ἀλλ' ἔργῳ ἀναπείθεις. Μὰ τὸν Δί', ἔφη ἡ Θεοδότη, ἐγὼ τούτων οὐδὲν μηχανῶμαι. Καὶ μὴν, ἔφη, πολὺ διαφέρει τὸ κατὰ φύσιν τε καὶ ὀρθῶς ἀνθρώπῳ προσφέρεσθαι. καὶ γὰρ δὴ βίᾳ μὲν οὔτ' ἂν ἕλοις, οὔτε κατάσχοις φίλον· εὐεργεσίᾳ δὲ καὶ ἡδονῇ τὸ θηρίον τοῦτο ἁλώσιμόν τε καὶ παραμόνιμόν ἐστιν. Ἀληθῆ λέγεις, ἔφη. Δεῖ τοίνυν, ἔφη, πρῶτον μὲν τοὺς φροντίζοντάς σου τοιαῦτα ἀξιοῦν, οἷα ποιοῦσιν αὐτοῖς σμικρότατα μελήσει· ἔπειτα δὲ αὐτὴν ἀμείβεσθαι χαριζομένην τὸν αὐτὸν τρόπον. οὕτω γὰρ ἂν μάλιστα φίλοι γίγνοιντο, καὶ πλεῖστον χρόνον φιλοῖεν, καὶ μέγιστα εὐεργετοῖεν. Χαρίζοιο δ' ἂν μάλιστα, εἰ δεομένοις δωροῖο τὰ παρὰ

---

adsint amici, te scio non oratione, sed ipsa re persuadere. Ego vero, inquit Theodota, nihil horum machinor. At profecto multum refert, ait, prout sua natura fert, ac recte hominem compellare. Nam vi quidem neque capere, neque retinere amicum possis: sed haec bestia beneficio et voluptate tum capi potest, tum, ut maneat, retineri. Vere dicis, inquit. Quamobrem oportet, ait, primum a tui studiosis hujusmodi petere, qualia minimi sunt facturi: deinde ut tu quoque gratificando vicem eodem modo referas. Nam hoc pacto maxime tibi amici fient, ac diutissime diligent, et maximis te beneficiis afficient. Gratificaberis autem maxime, si tua, quum eis indigent, concesseris. Vides enim etiam suavissimas

Digitized by Google

σεαυτῆς. ὁρᾷς γὰρ, ὅτι καὶ τῶν βρωμάτων τὰ ἥδιστα, ἐὰν μέν τις προσφέρῃ, πρὶν ἐπιθυμεῖν, ἀηδῆ φαίνεται, κεκορεσμένοις δὲ καὶ βδελυγμίαν παρέχει· ἐὰν δέ τις προσφέρῃ λιμὸν ἐμποιήσας, κἂν φαυλότερα ᾖ, πάνυ ἡδέα φαίνεται.

Πῶς οὖν ἄν, ἔφη, ἐγὼ λιμὸν ἐμποιεῖν τῷ τῶν παρ' ἐμοὶ δυναίμην; Εἰ, νὴ Δί', ἔφη, πρῶτον μὲν τοῖς κεκορεσμένοις μήτε προσφέροις μήτε ὑπομιμνήσκοις, ἕως ἂν τῆς πλησμονῆς παυσάμενοι πάλιν δέωνται· ἔπειτα δὲ τοὺς δεομένους ὑπομιμνήσκοις ὡς κοσμιωτάτῃ τε ὁμιλίᾳ, καὶ τῷ φαίνεσθαι βουλομένῃ χαρίζεσθαι, καὶ διαφεύγουσα, ἕως ἂν ὡς μάλιστα δεηθῶσι. τηνικαῦτα γὰρ πολὺ διαφέρει

escas, allatas prius quam appetantur, insuaves videri; exsaturatis vero etiam fastidium arere: at si quis eas porrigat s in quibus famem excitavet, etiamsi viliores sint, peraves videntur.

Quo igitur pacto, ait, famem o in aliquo apud me possim citare? Primum profecto, t, si saturatis neque porrigas, que eos commonefacias prius, quam a repletione desinentes rursus egeant: Deinde indigentes commonefacias colloquio quam maxime decoro, atque apparendo quasi gratificari velis, interimque elabarit, donec quam maxime indigeant. Tunc enim longe praestat eadem dona concedere, quam prius, quum nondum expeterentur. Et Theodota, Quid ergo, inquit, non tu mihi, mi

Digitized by Google

τὰ αὐτὰ δῶρα, ἢ πρὶν ἐπιθυμῆσαι, διδόναι. Καὶ ἡ Θεοδότη, Τί οὖν οὐ σύ μοι, ἔφη, ὦ Σώκρατες, ἐγένου συνθηρατὴς τῶν φίλων; Ἐάν γε, νὴ Δί', ἔφη, πείθῃς με σύ. Πῶς οὖν ἄν, ἔφη, πείσαιμί σε; Ζητήσεις, ἔφη, τοῦτο αὐτὴ καὶ μηχανήσῃ, ἐάν τί μου δέῃ. Εἴσιθι τοίνυν, ἔφη, θαμινά.

Καὶ ὁ Σωκράτης ἐπισκώπτων τὴν αὐτοῦ ἀπραγμοσύνην, Ἀλλ' ὦ Θεοδότη, ἔφη, οὐ πάνυ μοι ῥᾴδιόν ἐστι σχολάσαι. καὶ γὰρ ἴδια πράγματα πολλὰ, καὶ δημόσια, παρέχει μοι ἀσχολίαν· εἰσὶ δὲ καὶ φίλαι μοι, αἳ οὔτε ἡμέρας οὔτε νυκτὸς ἀφ' αὑτῶν ἐάσουσί με ἀπιέναι, φίλτρα τε μανθάνουσαι παρ' ἐμοῦ καὶ ἐπῳδάς. Ἐπίστασαι γὰρ, ἔφη, καὶ ταῦτα, ὦ Σώκρατες; Ἀλλὰ διὰ τί οἴει,

Socrates, amicorum convenator esse velis? Profecto, ait, si tu me persuaseris. Quo igitur pacto, ait, te persuaserim? Quaeres, inquit, hoc ipsa tu, et excogitabis, si qua in re mea tibi opus sit opera. Ergo frequenter, ait, ad me ingredere.

Et Socrates, ipsius in otium jocans, Enimvero, mea Theodota, inquit, non mihi admodum facile est otiari. Nam compluribus tum privatis tum publicis negotiis occupatus sum. Atque etiam amicae mihi sunt, quae nec interdiu, nec noctu abesse me ab ipsis patientur; amoris conciliandi rationes, et incantationes ex me discentes. An et illa nosti, ait, mi Socrates? Cur enim existimas, respondit, et Apollodorum hunc,

ἔφη, Ἀπολλόδωρόν τε τόνδε καὶ Ἀντισθένην οὐδέποτέ μου ἀπολείπεσθαι; διὰ τί δὲ καὶ Κέβητα καὶ Σιμμίαν Θήβηθεν παραγίγνεσθαι; εὖ ἴσθι, ὅτι ταῦτα οὐκ ἄνευ πολλῶν φίλτρων τε καὶ ἐπῳδῶν καὶ ἰύγγων ἐστί. Χρῆσον τοίνυν μοι, ἔφη, τὴν ἴυγγα, ἵνα ἐπὶ σοὶ πρῶτον ἕλκω αὐτήν. Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ αὐτὸς ἕλκεσθαι πρός σε βούλομαι, ἀλλά σε πρὸς ἐμὲ πορεύεσθαι. Ἀλλὰ πορεύσομαι, ἔφη· μόνον ὑποδέχου. Ἀλλ' ὑποδέξομαί σε, ἔφη, ἐὰν μή τις φιλωτέρα σου ἔνδον ᾖ.

ιϚ'. Ἐπιγένην δὲ τῶν ξυνόντων τινὰ, νέον τε ὄντα, καὶ τὸ σῶμα κακῶς ἔχοντα, ἰδὼν, Ὡς ἰδιωτικῶς, ἔφη, τὸ σῶμα ἔχεις, ὦ Ἐπίγενες!

---

et Antisthenem nunquam a me discedere? Cur et Cebetem et Simmiam Thebis ad me ventitare? Sat scito, ea non absque multis philtris et incantationibus et illecebris fieri. Ergo tu, inquit, accommodes mihi Iyngem, ut eam in te primum attraham. At enim, inquit *Socrates*, nolo ad te profecto pertrahi, sed te ad me venire. Veniam vero, ait, tantum me suscipe. Suscipiam, inquit, si non aliqua te carior apud me fuerit.

12. Epigenem, quendam e familiaribus adolescentem videns, et corpore male usum, quam vulgariter, inquit, corpore uteris, mi Epigenes? Et ille, e vulgo unus profecto sum, inquit, mi Socrates. Nihilo magis certe, inquit, iis, qui in Olympicis certaturi sunt. An tibi videtur esse certamen exiguum de

Digitized by Google

Καὶ ὅς, Ἰδιώτης μὲν, ἔφη, εἰμὶ, ὦ Σώκρατες. Οὐδέν γε μᾶλλον, ἔφη, τῶν ἐν Ὀλυμπίᾳ μελλόντων ἀγωνίζεσθαι. Ἦ δοκεῖ σοι μικρὰς εἶναι, ὁ περὶ τῆς ψυχῆς πρὸς τοὺς πολεμίους ἀγὼν, ὃν Ἀθηναῖοι θήσουσιν, ὅταν τύχωσι; Καὶ μὴν οὐκ ἀλίγοι μὲν διὰ τὴν τοῦ σώματος καχεξίαν ἀποθνήσκουσί τε ἐν τοῖς πολεμικοῖς κινδύνοις, καὶ αἰσχρῶς σώζονται· πολλοὶ δὲ δι' αὐτὸ τοῦτο ζῶντες ἁλίσκονται, καὶ ἁλόντες ἤτοι δουλεύουσι τὸν λοιπὸν βίον [ἐὰν οὕτω τύχωσι] τὴν χαλεπωτάτην δουλείαν, ἢ, εἰς τὰς ἀνάγκας τὰς ἀλγεινοτάτας ἐμπεσόντες καὶ ἐπτίσαντες ἐνίοτε πλείω τῶν ὑπαρχόντων αὐτοῖς, τὸν λοιπὸν βίον ἐνδεεῖς τῶν ἀναγκαίων ὄντες καὶ κακοπαθοῦντες διαζῶσι· πολλοὶ δὲ δόξαν αἰσχρὰν

vita adversus hostes, quod Athenienses proponent, quum res feret? Atqui non pauci bellicis in periculis ob malam corporis valetudinem moriuntur, vel turpiter evadunt. Multi eadem de causa capiuntur vivi, et capti reliquum vitae serviunt, si res ita forte evenerit, servitutem gravissimam; vel in necessitates maxime aerumnosas prolapsi, atque etiam persolventes nonnunquam plura quam in bonis habeant, quod reliquum vitae est, in rerum necessariarum inopia et aerumnis transigunt: multi etiam sibi existimationem turpem comparant, quod ob corporis imbecillitatem formidolose se gerere videantur. An has tu malae valetudinis

κτῆσαι, διὰ τὴν τοῦ σώματος ἀδυναμίαν ὀκνοῦντες ἀποδειλιᾷν. Ἢ καταφρονεῖς τῶν ἐπιτιμίων τῆς παχεξίας ταύτης, καὶ ῥᾳδίως ἂν οἴει φέρειν τὰ τοιαῦτα; καὶ μὴν οἶμαί γε πολλῷ ῥᾴω καὶ ἡδίω τούτων εἶναι, ἃ δεῖ ὑπομένειν τὸν ἐπιμελόμενον τῆς τοῦ σώματος εὐεξίας. Ἢ ὑγιεινότερόν τε καὶ εἰς τἆλλα χρησιμώτερον νομίζεις εἶναι τὴν παχεξίαν τῆς εὐεξίας; ἢ τῶν διὰ τὴν εὐεξίαν γιγνομένων καταφρονεῖς;

Καὶ μὴν πάντα γε τἀναντία συμβαίνει τοῖς εὖ τὰ σώματα ἔχουσιν ἢ τοῖς κακῶς. καὶ γὰρ ὑγιαίνουσιν οἱ τὰ σώματα εὖ ἔχοντες, καὶ ἰσχύουσι· καὶ πολλοὶ μὲν διὰ τοῦτο ἐκ τῶν πολεμικῶν ἀγώνων σώζονταί τε εὐ-

---

poenas contemnis, teque putas talia facile laturum? Atqui arbitror longe faciliora, et jucundiora his esse, quae illi ferenda sunt, qui bonae corporis valetudini studet. An tu salubriorem, ac ad alia putas utiliorem esse malam corporis constitutionem, quam bonam? An ea, quae per bonam corporis constitutionem fiunt, contemnis?

Contraria quidem eveniunt omnia his qui bona habitudine corporis fruantur, atque his qui mala. Nam quibus affecta bene sunt corpora, valent, et robusti sunt, et multi hac ratione incolumes e praeliis evadunt honestissime, cunctaque pericula effugiunt, multi amicis succurrunt, de patria bene merentur, et ob haec gratiam consequuntur, et ingentem gloriam comparant, et ho-

Digitized by Google

σχημόνως, καὶ τὰ δεινὰ πάντα διαφεύγουσι· πολλοὶ δὲ φίλοις τε βοηθοῦσι καὶ τὴν πατρίδα εὐεργετοῦσι, καὶ διὰ ταῦτα χάριτός τε ἀξιοῦνται, καὶ δόξαν μεγάλην κτῶνται, καὶ τιμῶν καλλίστων τυγχάνουσι· καὶ διὰ ταῦτα τόν τε λοιπὸν βίον ἥδιον καὶ πάλλιον διαζῶσι, καὶ τοῖς ἑαυτῶν παισὶ καλλίους ἀφορμὰς εἰς τὸν βίον καταλείπουσιν. Οὗτοι χρὴ, ὅτι ἡ πόλις οὐκ ἀσκεῖ δημοσίᾳ τὰ πρὸς τὸν πόλεμον, διὰ τοῦτο καὶ ἰδίᾳ ἀμελεῖν, ἀλλὰ μηδὲν ἧττον ἐπιμελεῖσθαι. εὖ γὰρ ἴσθι, ὅτι οὐδὲ ἐν ἄλλῳ οὐδενὶ ἀγῶνι, οὐδὲ ἐν πράξει οὐδεμιᾷ μεῖον ἕξεις, διὰ τὸ βέλτιον τὸ σῶμα παρεσκευάσθαι· πρὸς πάντα γὰρ, ὅσα πράττουσιν ἄνθρωποι, χρήσιμον τὸ σῶμά ἐστιν, ἐν

---

nores praeclarissimos adipiscuntur. Quo fit ut reliquam vitam suavius ac praeclarius transigant, liberisque suis pulchriora relinquant ad vitam subsidia. Nequaquam propterea, quod civitas ea quae pertinent ad bellum publice non exerceat, etiam privatim negligenda sunt; sed nihilo minus sunt excolenda. Certo scire te velim, nec in ullo alio certamine, nec quavis in actione deteriorem idcirco te futurum, quod corpore rectius comparato utaris. Nam ad omnia, quaecunque agunt homines, utile corpus est: atque in omnibus corporis usibus multum interest, uti corpore quam optime affecto. Quis enim ignorat, etiam in eo, in

Digitized by Google

πάσαις δὲ ταῖς τοῦ σώματος χρείαις πολὺ διαφέρει ὡς βέλτιστα τὸ σῶμα ἔχειν. Ἐπεὶ καὶ, ἐν ᾧ δοκεῖς ἐλαχίστην σώματος χρείαν εἶναι, ἐν τῷ διανοεῖσθαι, τίς οὐκ οἶδεν, ὅτι καὶ ἐν τούτῳ πολλοὶ μεγάλα σφάλλονται, διὰ τὸ μὴ ὑγιαίνειν τὸ σῶμα; καὶ λήθη δὲ καὶ ἀθυμία καὶ δυσκολία καὶ μανία πολλάκις πολλοῖς διὰ τὴν τοῦ σώματος καχεξίαν εἰς τὴν διάνοιαν ἐμπίπτουσιν οὕτως, ὥστε καὶ τὰς ἐπιστήμας ἐκβάλλειν. Τοῖς δὲ τὰ σώματα εὖ ἔχουσι πολλὴ ἀσφάλεια, καὶ οὐδεὶς κίνδυνος διά γε τὴν τοῦ σώματος καχεξίαν τοιοῦτόν τι παθεῖν. εἰκὸς δὲ μᾶλλον πρὸς τὰ ἐναντία τῶν διὰ τὴν καχεξίαν γιγνομένων καὶ τὴν εὐεξίαν χρήσιμον εἶναι. καίτοι τῶν γε

---

quo putas usum corporis esse minimum, videlicet in cogitando, multos vehementer impingere, propterea quod corpus non recte valeat? Etiam oblivio, et moeror, et morositas, et animi insanitas saepius in multis ob malam corporis affectionem sic in mentem penetrant, ut etiam scientias ejiciant. At quibus affecta bene sunt corpora, multa illis securitas, neque quicquam est periculi eis ob malam corporis constitutionem hujusmodi quid eventurum: potiusque consentaneum est, valetudinem integram ad iis contraria, quae ex mala constitutione oriuntur, conducere. Atqui propter ea quae jam dictis sunt contraria, quid non aliquis toleraret men-

Digitized by Google

τοῖς εἰρημένοις ἐναντίων ἕνεκα, τί οὐκ ἂν τις νοῦν ἔχων ὑπομείνειεν; Αἰσχρὸν δὲ καὶ τὸ διὰ τὴν ἀμέλειαν γηράσαι, πρὶν ἰδεῖν ἑαυτὸν, ποῖος ἂν κάλλιστος καὶ κράτιστος τῷ σώματι γένοιτο. ταῦτα δὲ οὐκ ἔστιν ἰδεῖν ἀμελοῦντα· οὐ γὰρ ἐθέλει αὐτόματα γίγνεσθαι.

ιγ'. Ὀργιζομένου δέ ποτέ τινος, ὅτι προσιόντων τινα χαίρειν οὐκ ἀντιπροσερρήθη, Γελοῖον, ἔφη, τὸ, εἰ μὲν τὸ σῶμα κάκιον ἔχοντι ἀπήντησάς τῳ, μὴ ἂν ὀργίζεσθαι· ὅτι δὲ τὴν ψυχὴν ἀγροικοτέρως διακειμένῳ περιέτυχες, τοῦτό σε λυπεῖ. Ἄλλου δὲ λέγοντος, ὅτι ἀηδῶς ἐσθίοι, Ἀκουμενὸς, ἔφη, τούτου φάρμακον ἀγαθὸν διδάσκει. Ἐρομένου δὲ, ποῖον; Παύσασθαι ἐσθίοντα, ἔφη· καὶ ἥδιον

---

tis compos? Turpe est, aliquem absque exercitatione senescere, priusquam videat, qualis foret, ubi et pulcherrimus et robustissimus corpore evaserit. At haec videre nequit, qui exercitationem nullam adhibet: non enim *haec* sponte sua fiunt.

13. Quum autem aliquando quidam excandesceret, quod salutans quendam, resalutatus non fuisset: ridiculum est, inquit, te, si cui occurrisses, qui se corpore deterius habuisset, non succensurum fuisse; quod autem in hominem incideris anima rusticiore praeditum, id tibi molestum esse. Itidem quum alius diceret, insuaviter se comedere: illo audiente, bonum se remedium ad hoc docere dicebat. Illo interrogante, qualenam id esset? ces-

Digitized by Google

τε καὶ εὐτελέστερον καὶ ὑγιεινότερόν φησι διάξειν παυσάμενον. Ἄλλου δ' αὖ λέγοντος, ὅτι θερμὸν εἴη παρ' ἑαυτῷ τὸ ὕδωρ, εἰ πίναι· Ὅταν ἄρ', ἔφη, βούλῃ θερμῷ λούσασθαι, ἕτοιμον ἔσται σοι. Ἀλλὰ ψυχρὸν, ἔφη, ὥστε λούσασθαι, ἐστίν. Ἆρ' οὖν, ἔφη, καὶ οἱ οἰκέται σου ἄχθονται πίνοντές τε αὐτὸ, καὶ λούμενοι αὐτῷ; Μὰ τὸν Δί', ἔφη· ἀλλὰ καὶ πολλάκις τεθαύμακα, ὡς ἡδέως αὐτῷ πρὸς ἀμφότερα ταῦτα χρῶνται. Πότερον δὲ, ἔφη, τὸ παρὰ σοὶ ὕδωρ θερμότερον πιεῖν ἐστιν, ἢ τὸ ἐν Ἀσκληπιοῦ; Τὸ ἐν Ἀσκληπιοῦ, ἔφη. Ἐνθυμοῦ οὖν, ἔφη, ὅτι κινδυνεύεις δυσαρεστότερος εἶναι τῶν τε οἰκετῶν καὶ τῶν ἀῤῥωστούντων.

---

sare a cibo, inquit. Et quidem si cessaveris, ait, etiam suavius, et parcius, et salubrius vives. Rursus alio dicente, aquam apud se calidam esse, quam biberet: Ergo quum lavare calida voles, inquit, in promptu tibi erit. Atqui, ait, frigida est, qua lavare licet. Ergo, inquit, etiam famuli tui graviter ferunt bibere illam, illaque lavare? Non profecto, inquit: sed saepe miratus sum, quam jucunde ad horum utrumque illa utantur. Num aqua, inquit, quae apud te est, an quae est in Æsculapii, calidior est ad potum? Illa, inquit, quae in Æsculapii fano est. Ergo cogitato, ait, periculum esse, ne et famulis et aegrotantibus sis fastidiosior.

Digitized by Google

Κολάσαντος δέ τινας ἰσχυρῶς ἀπόλωνθον, ἤρετο, Τί χαλεπαίνοι τῷ θεράποντι. Ὅτι, ἔφη, ὀψοφαγίστατός τε ὤν, βλακώτατός ἐστι, καὶ φιλαργυρώτατος ὤν, ἀργότατος. Ἤδη ποτὲ οὖν ἐπεσκέψω, ἔφη, πότερος πλειόνων πληγῶν δεῖται, σὺ, ἢ ὁ θεράπων; Φοβουμένου δέ τινος τὴν εἰς Ὀλυμπίαν ὁδὸν, Τί, ἔφη, φοβῇ σὺ τὴν πορείαν; οὐ καὶ οἶκοι σχεδὸν ὅλην τὴν ἡμέραν περιπατεῖς; καὶ ἐκεῖσε πορευόμενος, περιπατήσας ἀριστήσεις, περιπατήσας δειπνήσεις καὶ ἀναπαύσῃ. οὐκ οἶσθα, ὅτι, εἰ ἐκτείναις τοὺς περιπάτους, οὓς ἐν πέντε ἢ ἓξ ἡμέραις περιπατεῖς, ῥᾳδίως ἂν Ἀθήνηθεν εἰς Ὀλυμπίαν ἀφίκοιο; χαριέστερον δὲ καὶ προεξορμᾷν ἡμέρᾳ μιᾷ μᾶλλον, ἢ ὑστερίζειν.

Quum quidam pedissequum suum vehementer cecidisset, quamobrem servo succenseret, interrogabat? Quod, inquit, voracissimus sit obsoniorum, et simul mollissimus: avarissimus idem, et otiosissimus. Unquamne vero considerasti, inquit *Socrates*, uter plures plagas mereatur, tu, an servus *tuus?* Quum quidam iter ad Olympiam reformidaret, Quamobrem, inquit, profectionem hanc metuis? Annon etiam domi totum fere diem obambulas? Ita quoque dum eo proficiscens ambulaveris, prandebis; quumque rursus ambulaveris, coenabis et quiesces. An nescis te, si obambulationes, quas quinque vel sex diebus absolvas, extenderes, facile Athenis Olympiam venturum? atque etiam gratius erit, si uno

Digitized by Google

τὸ μὲν γὰρ ἀναγκάζεσθαι περαιτέρω τοῦ μετρίου μηκύνειν τὰς ὁδοὺς, χαλεπόν· τὸ δὲ μιᾷ ἡμέρᾳ πλείονας πορευθῆναι, πολλὴν ῥᾳστώνην παρέχει. κρεῖττον οὖν ἐν τῇ ὁρμῇ σπεύδειν, ἢ ἐν τῇ ὁδῷ. Ἄλλου δὲ λέγοντος, ὡς παρετάθη μακρὰν ὁδὸν πορευθεὶς, ἤρετο αὐτὸν, εἰ καὶ φορτίον ἔφερε. Μὰ Δί' οὐκ ἔγωγ', ἔφη, ἀλλὰ τὸ ἱμάτιον. Μόνος δ' ἐπορεύου, ἔφη, ἢ καὶ ἀκόλουθός σοι ἠκολούθει; Ἠκολούθει, ἔφη. Πότερον, ἔφη, κενὸς, ἢ φέρων τι; Φέρων, νὴ Δί', ἔφη, τά τε στρώματα καὶ τἄλλα σκεύη. Καὶ πῶς δὴ, ἔφη, ἀπήλλαχεν ἐκ τῆς ὁδοῦ; Ἐμοὶ μὲν δοκεῖ, ἔφη, βέλτιον ἐμοῦ. Τί οὖν; ἔφη, εἰ τὸ ἐκείνου φορτίον ἔδει σε φέρειν, πῶς ἂν οἴει

---

die praecipies iter, quam si serius eas. Nam cogi quem, ut itinera, quam par sit, longiora faciat, molestum est: at unum diem amplius in itinere consumere, magnam facilitatem affert. Itaque potius est in arripiendo itinere festinare, quam in via. Quum alius diceret, se longo itinere confíciendo defessum esse: num quid oneris gestasset, interrogabat. Minime, ait, praeter vestem. Num solus ibas, inquit, an et pedissequus te comitabatur? Comitabatur, inquit. Vacuus erat ille, an quid gestabat? Gestabat, inquit, tum stragula, tum alia vasa. Et quo pacto is, ait, itinere perfunctus est? Melius me inquit, uti mihi videtur. Quid ergo, inquit, si tibi gestandum fuisset illius onus, quo

Digitized by Google

διατεθῆναι; Κακῶς, νὴ Δί', ἔφη· μᾶλλον δὲ οὐδ' ἂν ἠδυνήθην ποιῆσαι. Τὸ οὖν τοσούτῳ ἧττον τοῦ παιδὸς δύνασθαι πονεῖν, πῶς ἠσκημένου δοκεῖ σοι ἀνδρὸς εἶναι;

ιδ'. Ὁπότε δὲ τῶν ξυνιόντων ἐπὶ τὸ δεῖπνον οἱ μὲν μικρὸν ὄψον, οἱ δὲ πολὺ φέροιεν, ἐκέλευεν ὁ Σωκράτης τὸν παῖδα τὸ μικρὸν ἢ εἰς τὸ κοινὸν τιθέναι, ἢ διανέμειν ἑκάστῳ τὸ μέρος. Οἱ οὖν τὸ πολὺ φέροντες ἠσχύνοντό τε μὴ κοινωνεῖν τοῦ εἰς τὸ κοινὸν τιθεμένου, καὶ μὴ ἀντιτιθέναι τὸ ἑαυτῶν. ἐτίθεσαν οὖν καὶ τὸ ἑαυτῶν εἰς τὸ κοινόν· καὶ ἐπεὶ οὐδὲν πλέον εἶχον τῶν μικρὸν φερομένων, ἐπαύοντο πολλοῦ ὄψωνοῦντες. Καταμαθὼν δέ τινα τῶν ξυνδειπνούντων τοῦ μὲν σίτου πεπαυμένον, τὸ δὲ

---

te pacto tunc affectum patares? Male profecto, inquit: imo ne gestare quidem id potuissem. At tanto minus laboris perferre te posse, quam puer, qui tibi esse viri videtur exercitati?

14. Quum autem aliquibus ad coenam convenientibus, alii parum obsonii, multum alii afferrent, jubere solebat Socrates, ut puer parum illud vel in commune apponeret, vel partem aliquam in singulos distribueret. Eos itaque qui multum attulerant, non ejus participes fieri puderet, quod esset in commune propositum, ac non suum ibidem collocare. Itaque suum etiam in commune apponebant, et quia nihilo plus habebant quam illi, qui parum afferebant, a magno in emendis obsoniis sumptu desistebant.

Digitized by Google

ὄψον αὐτὸ καθ' αὑτὸ ἐσθίοντα, (λόγου ὄντος περὶ ὀνομάτων, ἐφ' οἷῳ ἔργῳ ἕκαστον εἴη) Ἔχοιμεν ἂν, ἔφη, ὦ ἄνδρες, εἰπεῖν, ἐπὶ ποίῳ ποτὲ ἔργῳ ἄνθρωπος ὀψοφάγος καλεῖται; ἐσθίουσι μὲν γὰρ δὴ πάντες ἐπὶ τῷ σίτῳ ὄψον, ὅταν παρῇ· ἀλλ', οἶμαι, οὔ πω ἐπί γε τούτῳ ὀψοφάγοι καλοῦνται. Οὐ γὰρ οὖν, ἔφη τις τῶν παρόντων. Τί γὰρ, ἔφη, ἐάν τις ἄνευ τοῦ σίτου τὸ ὄψον αὐτὸ· ἐσθίῃ, μὴ ἀσκήσεως ἀλλ' ἡδονῆς ἕνεκα, πότερον ὀψοφάγος εἶναι δοκεῖ, ἢ οὔ; Σχολῇ γ' ἄν, ἔφη, ἄλλος τις ὀψοφάγος εἴη. Καί τις ἄλλος τῶν παρόντων, Ὁ δὲ μικρῷ σίτῳ, ἔφη, πολὺ ὄψον ἐπεσθίων; Ἐμοὶ μὲν, ἔφη ὁ Σωκράτης, καὶ οὗτος δοκεῖ δικαίως ἂν ὀψοφάγος καλεῖσ-

---

Idem quum animadverteret quendam ex iis qui una coenabant, a pane quidem desiisse, sed obsonio adhuc mero vesci, habito sermone de nominibus, quam ob rem singula essent indita, Possumusne dicere, ait, O viri, quam ob causam aliquis obsophagus appelletur? Edunt enim omnes cum pane obsonium, quum adest: at opinor, non ob eam causam obsophagi ita vocentur. Minime scilicet, ait quidam ex iis qui aderant. Quid? inquit: si quis absque pane comedat obsonium, non condimenti, sed voluptatis causa, utrum obsonii helluo esse videtur, an non? Vix alius, ait, obsonii helluo sit. Tum alius quidam illorum qui aderant, At vero qui cum exigue

θαι· καὶ, ὅταν γε οἱ ἄλλοι ἄνθρωποι τοῖς θεοῖς εὔχωνται πολυκαρπίαν, εἰκότως ἂν οὗτος πολυοψίαν εὔχοιτο. Ταῦτα δὲ τοῦ Σωκράτους εἰπόντος, νομίσας ὁ νεανίσκος εἰς αὐτὸν εἰρῆσθαι τὰ λεχθέντα, τὸ μὲν ὄψον οὐκ ἐπαύσατο ἐσθίων, ἄρτου δὲ προσέλαβεν. Καὶ ὁ Σωκράτης καταμαθὼν, Παρατηρεῖτ', ἔφη, τοῦτον οἱ πλησίον, ὁπότερα τῷ σίτῳ ὄψῳ, ἢ τῷ ὄψῳ σίτῳ χρήσεται.

Ἄλλον δέ ποτε τῶν συνδείπνων ἰδὼν ἐπὶ τῷ ἑνὶ ψωμῷ πλειόνων ὄψων γευόμενον, Ἆρα γένοιτ' ἄν, ἔφη, πολυτελεστέρα ὀψοποιΐα ἢ μᾶλλον τὰ ὄψα λυμαινομένη, ἢ ἣν ὀψοποιεῖται ὁ ἅμα πολλὰ ἐσθίων καὶ ἅμα παντο-

---

pane, inquit, multum obsonii comedit? Is etiam mihi, ait Socrates, merito dici obsophagus videtur: quumque caeteri homines a Diis fructuum poscent copiam, par fuerit illum obsonii copiam poscere. His a Socrate prolatis, existimans is adolescentulus in se illa esse dicta, obsonio quidem vesci non desinebat, sed panem adhibebat. Quod Socrates ut animadverteret, Observate hunc, inquit, qui propius estis, num pane pro obsonio, an obsonio pro pane utatur.

Quum itidem aliquando vidisset alium ex convivis, ad unum panis frustum obsonia plura degustantem: Num, ait, fieri potest obsoniorum confectio sumptuosior, aut, quae magis obsonia corrumpit, quam ea *confectio*, quam sibi instituit

Digitized by Google

δαπὰ ἡδύσματα εἰς τὸ στόμα λαμβάνων; πλείω μέν γε τῶν ὀψοποιῶν συμμιγνύων πολυτελέστερα ποιεῖ· ἃ δὲ ἐκεῖνοι μὴ συμμιγνύουσιν, ὡς οὐχ ἁρμόττοντα, ὁ συμμιγνύων (εἴπερ ἐκεῖνοι ὀρθῶς ποιοῦσιν) ἁμαρτάνει τε καὶ καταλύει τὴν τέχνην αὐτῶν. Καίτοι πῶς οὐ γελοῖόν ἐστι, παρασκευάζεσθαι μὲν ὀψοποιοὺς τοὺς ἄριστα ἐπισταμένους, αὐτὸν δὲ μηδ' ἀντιποιούμενον τῆς τέχνης ταύτης, τὰ ὑπ' ἐκείνων ποιούμενα μετατιθέναι; καὶ ἄλλο δέ τι προσγίγνεται τῷ ἅμα πολλὰ ἐσθίειν ἐθισθέντι· μὴ παρόντων γὰρ πολλῶν, μειονεκτεῖν ἄν τι δοκοίη, ποθῶν τὸ σύνηθες· ὁ δὲ συνεθισθεὶς τὸν ἕνα ψωμὸν ἐνὶ ὄψῳ προπέμ-

---

is, qui multa simul comedit, ac omnigena simul condimenta in os ingerit? Qui certe plura commiscet, quam instructores obsoniorum, sumptuosiora facit: qui vero commiscet ea, quae illi tanquam non congruentia minime commiscent, (si quidem illi recte faciunt) peccat, et artem ipsorum evertit. Atqui quo pacto non ridiculum fuerit, aliquem sibi structores obsoniorum comparare peritissimos, atque ipsum interim, artis ejus cognitionem sibi non vendicantem, ab illis confecta immutare? Quinetiam aliud quiddam accidit ei, qui multa simul vorare consuevit, *quam qui non.* Nam ubi parum adest, minus habere se putat, quippe qui consueta desiderat: at qui se consuefecit unum panis frustum

Digitized by Google

πειν, ὅτε μὴ παρείη πολλὰ, δύναιτ' ἂν ἀλύπως τῷ ἑνὶ χρῆσθαι.

Ἔλεγε δὲ καὶ ὡς τὸ εὐωχεῖσθαι ἐν τῇ Ἀθηναίων γλώττῃ ἐσθίειν καλοῖτο· τὸ δὲ εὖ προσκεῖσθαι ἔφη ἐπὶ τῷ ταῦτα ἐσθίειν, ἅτινα μήτε τὴν ψυχὴν μήτε τὸ σῶμα λυποίη, μήτε δυσεύρετα εἴη. ὥστε καὶ τὸ εὐωχεῖσθαι τοῖς κοσμίως διαιτωμένοις ἀνετίθει.

---

uni obsonio praemittere, is, quum multa non adsunt, sine molestia potest uno illo uti.

Aiebat etiam, verbum "εὐωχεῖσθαι" Atheniensium lingua edendi significationem habere: additum vero esse vocabulum "εὖ" dicebat, ut ea comedantur, quaecunque nec animam, nec corpus laedant, nec inventu difficilia sint. Itaque verbum hoc "εὐωχεῖσθαι" victu decenter utentibus tribuebat.

Digitized by Google

ΞΕΝΟΦΩΝΤΟΣ

ΑΠΟΜΝΗΜΟΝΕΥΜΑΤΩΝ

ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΚΕΦ. Δ.

Οὕτω δὲ ὁ Σωκράτης ἦν ἐν παντὶ πράγματι καὶ πάντα τρόπον ὠφέλιμος, ὥστε τῷ σκοπουμένῳ τοῦτο, καὶ μετρίως αἰσθανομένῳ, φανερὸν εἶναι, διότι οὐδὲν ὠφελιμώτερον ἦν τοῦ Σωκράτει συνεῖναι, καὶ μετ' ἐκείνου διατρί-

XENOPHONTIS

MEMORABILIUM

LIBER QUARTUS.

CAP. I.

TAM vero Socrates utilis erat in negotio quovis, atque omni modo, ut cuivis hoc consideranti, etiamsi vel parum intelligat, perspicuum sit, ob quid nihil erat utilius, quam Socrate familiariter uti, et cum eo ubivis locorum, et quavis de re

Digitized by Google

ϵιν ὁπουοῦν καὶ ἐν ὁτῳοῦν πράγματι· ἐπεὶ καὶ τὸ ἐκείνου μεμνῆσθαι μὴ παρόντος, οὐ μικρὰ ὠφέλει τοὺς εἰωθότας τε αὐτῷ συνεῖναι, καὶ ἀποδεχομένους ἐκεῖνον. καὶ γὰρ παίζων οὐδὲν ἧττον ἢ σπουδάζων ἐλυσιτέλει τοῖς συνδιατρίβουσι. Πολλάκις γὰρ ἔφη μὲν ἄν τινος ἐρᾷν, φανερὸς δ' ἦν, οὐ τῶν τὰ σώματα πρὸς ὥραν, ἀλλὰ τῶν τὰς ψυχὰς πρὸς ἀρετὴν εὖ πεφυκότων, ἐφιέμενος. ἐτεκμαίρετο δὲ τὰς ἀγαθὰς φύσεις ἐκ τοῦ ταχύ τε μανθάνειν οἷς προσέχοιεν, καὶ μνημονεύειν ἃ ἂν μάθοιεν, καὶ ἐπιθυμεῖν τῶν μαθημάτων πάντων, δι' ὧν ἐστὶν οἰκίαν τε καλῶς οἰκεῖν καὶ πόλιν, καὶ τὸ ὅλον ἀνθρώποις τε καὶ ἀνθρωπίνοις πράγμασιν εὖ χρῆσθαι. τοὺς γὰρ τοιούτους

---

versari. Nam ejus etiam absentis recordari, non parum proderat illis, qui cum eo solebant esse, et qui comprobabant eum. Quippe non minus joco quam serio loquens, familiaribus suis proderat. Saepe enim amare se aliquem aiebat, sed ostendebat se non illos quorum corpora ad pulchritudinem, sed quorum animae ad virtutem a natura comparatae essent, expetere. Certa vero indicia bonae indolis colligebat ex eo, si celeriter discerent illa, quibus animum adjicerent; quaeque didicissent, memoria tenerent; omnesque artes expeterent, per quas liceret et domum praeclare gubernare, et civitatem; ac ad summam, tum hominibus tum rebus hu-

Digitized by Google

ἡγεῖτο παιδευθέντας οὐκ ἂν μόνον αὐτούς τε εὐδαίμονας εἶναι καὶ τοὺς ἑαυτῶν οἴκους καλῶς οἰκεῖν, ἀλλὰ καὶ ἄλλους ἀνθρώπους καὶ πόλεις δύνασθαι εὐδαίμονας ποιεῖν.

Οὐ τὸν αὐτὸν δὲ τρόπον ἐπὶ πάντας ἦει, ἀλλὰ τοὺς μὲν οἰομένους φύσει ἀγαθοὺς εἶναι, μαθήσεως δὲ καταφρονοῦντας ἐδίδασκεν, ὅτι αἱ ἄρισται δοκοῦσαι εἶναι φύσεις μάλιστα παιδείας δέονται· ἐπιδεικνύων τῶν τε ἵππων τοὺς εὐφυεστάτους, θυμοειδεῖς τε καὶ σφοδροὺς ὄντας, εἰ μὲν ἐκ νέων δαμασθείεν, εὐχρηστοτάτους καὶ ἀρίστους γιγνομένους, εἰ δὲ ἀδάμαστοι γένοιντο, δυσκαθεκτοτάτους καὶ φαυλοτάτους· καὶ τῶν κυνῶν τῶν εὐφυεστάτων, φιλοπόνων τε οὐσῶν καὶ ἐπιθετικῶν

---

manis recte uti. Nam si tales instituerentur, existimabat, non ipsos modo beatos esse, suasque domos recte gubernare; sed eosdem posse tum caeteros etiam homines, tum civitates beare.

Non eodem vero modo ad omnes accedebat, sed eos, qui natura se bonos esse arbitrarentur, doctrinam autem contemnerent, docebat, illas naturas quae viderentur esse praestantissimae, imprimis institutione indigere; quum quidem ostenderet, equos generosissimos, qui et animosi et acres sunt, si a parvulis domentur, utilissimos ac praestantissimos fieri; sin indomiti sint, effraenatissimos ac pravissimos: et canes a natura optimas, quae laborie-

Digitized by Google

τοῖς θηρίοις, τὰς μὲν καλῶς ἀχθείσας, ἀρίστας γίγνεσθαι πρὸς τὰς θήρας καὶ χρησιμωτάτας, ἀναγώγους δὲ γιγνομένας, ματαίους τε καὶ μανιώδεις καὶ δυσπειθεστάτας. Ὁμοίως δὲ καὶ τῶν ἀνθρώπων τοὺς εὐφυεστάτους, ἐῤῥωμενεστάτους τε ταῖς ψυχαῖς ὄντας καὶ ἐξεργαστικωτάτους ὧν ἂν ἐγχειρῶσι, παιδευθέντας μὲν καὶ μαθόντας ἃ δεῖ πράττειν, ἀρίστους τε καὶ ὠφελιμωτάτους γίγνεσθαι· (πλεῖστα γὰρ καὶ μέγιστα ἀγαθὰ ἐργάζεσθαι) ἀπαιδεύτους δὲ καὶ ἀμαθεῖς γενομένους, κακίστους τε καὶ βλαβερωτάτους γίγνεσθαι· κρίνειν γὰρ οὐκ ἐπισταμένους ἃ δεῖ πράττειν, πολλάκις πονηροῖς ἐπιχειρεῖν πράγμασι, μεγαλείους δὲ καὶ σφοδροὺς ὄν-

---

sae sint et feras aggrediantur, si recte educentur, optimas fieri, ac ad venationes aptissimas; si minus educentur, ineptas reddi, ac furiosas, et contumacissimas. Itidem homines optimae indolis, qui et animis essent firmissimis, et in efficiendis iis, quae molirentur, efficacissimi, si quidem instituti essent, et quae agenda sint, didicissent, praestantissimos atque utilissimos fieri; (quod et plurima et maxima bona conficerent:) at si tum institutionis, tum doctrinae expertes essent, fieri pessimos ac nocentissimos. Nam quum dijudicare minime norint, quae sint facienda, prava saepe moliuntur; quum-

Digitized by Google

τας, δυσπαθέπτους τε καὶ δυσαποτρέπτους εἶναι· διὸ πλεῖστα καὶ μέγιστα κακὰ ἐργάζεσθαι.

Τοὺς δὲ ἐπὶ πλούτῳ μέγα φρονοῦντας, καὶ νομίζοντας οὐδὲν προσδεῖσθαι παιδείας, ἐξαρκέσειν δέ σφισι τὸν πλοῦτον οἰομένους πρὸς τὸ διαπράττεσθαί τε ὅ, τι ἂν βούλωνται, καὶ τιμᾶσθαι ὑπὸ τῶν ἀνθρώπων, ἐφρένου λέγων, ὅτι μωρὸς μὲν εἴη, εἴ τις οἴεται, μὴ μαθὼν, τά τε ὠφέλιμα καὶ τὰ βλαβερὰ τῶν πραγμάτων διαγνώσεσθαι· μωρὸς δ', εἴ τις, μὴ διαγιγνώσκων μὲν ταῦτα, διὰ δὲ τὸν πλοῦτον, ὅ, τι ἂν βούληται, πορίζόμενος, οἴεται δυνήσεσθαι καὶ τὰ συμφέροντα πράττειν· ἠλίθιος δ', εἴ τις, μὴ δυνάμενος τὰ συμφέροντα πράτ-

---

que magnifici ac acres sint, difficulter contineri ac abduci possunt: quo fiat, ut plurima maximaque mala committant.

Quod si qui ob divitias magnos animos gererent, ac se nihil institutionis egere ducerent, quippe qui divitias sibi suffecturas putarent ad perficiendum quae vellent, et ad consequendum honores ab hominibus, eos sanum ad animum revocabat, dicendo, stolidum esse, si quis, quum non didicerit, quae utilia, quaeve noxia sunt, putet ea se discreturum: stolidumque, si quis, quum haec non discernat, propter divitias putet posse se, quodcunque velit adeptum, etiam quae sibi conducant, agere: stultum, si quis, quum non potest agere, quae sibi conducant, bene se agere putet, ac

Digitized by Google

τειν οἴεται καὶ τὰ πρὸς τὸν βίον αὐτῷ ἢ καλῶς ἢ ἱκανῶς παρεσπευάσθαι· ἠλίθιος δὲ καὶ, εἴ τις οἴεται διὰ τὸν πλοῦτον, μηδὲν ἐπιστάμενος, δόξειν τὶ ἀγαθὸς εἶναι, ἢ μηδὲν ἀγαθὸς εἶναι δοκῶν, εὐδοκιμήσειν.

β'. Τοῖς δὲ νομίζουσι παιδείας τε τῆς ἀρίστης τετυχηκέναι, καὶ μέγα φρονοῦσιν ἐπὶ σοφίᾳ, ὡς προσεφέρετο νῦν διηγήσομαι. καταμαθὼν γὰρ Εὐθύδημον τὸν καλὸν γράμματα πολλὰ συνειλεγμένον ποιητῶν τε καὶ σοφιστῶν τῶν εὐδοκιμωτάτων, καὶ ἐκ τούτων ἤδη τε νομίζοντα διαφέρειν τῶν ἡλικιωτῶν ἐπὶ σοφίᾳ, καὶ μεγάλας ἐλπίδας ἔχοντα, πάντων διοίσειν τῷ δύνασθαι λέγειν τε καὶ πράττειν, πρῶτον μὲν αἰσθανόμενος αὐτὸν διὰ νεότητα

---

res ad vitam vel recte, vel idonee comparatas esse: stultumque, si quis, quum nihil *horum* sciat, putet fore, ut propter divitias aliqua in re bonus videatur: vel quum nulla in re bonus esse videatur, fama se inclariturum.

2. Quod si qui existimarent se optime institutos esse, ac ob doctrinam elatis essent animis, erga eos quomodo se gereret, jam commemorabo. Nam quum pulchrum illum Euthydemum intellexisset multa poëtarum et sophistarum clarissimorum scripta collegisse, et ob ea jam arbitrari, se sapientia suos coaetaneos vincere, ac magna esse in spe, futurum, ut omnes in dicendi et agendi facultate excelleret; primum animadvertens eum propter adolescentiam necdum in forum

Digitized by Google

οὕτω εἰς τὴν ἀγορὰν εἰσιόντα, εἰ δέ τι βούλοιτο διαπράξασθαι, καθίζοντα εἰς ἡνιοποιεῖόν τι τῶν ἐγγὺς τῆς ἀγορᾶς, εἰς τοῦτο καὶ αὐτὸς ἤει τῶν μεθ' αὑτοῦ τινας ἔχων. Καὶ πρῶτον μὲν πυνθανομένου τινὸς, πότερον Θεμιστοκλῆς διὰ ξυνουσίαν τινὸς τῶν σοφῶν, ἢ φύσει, τοσοῦτον διήνεγκε τῶν πολιτῶν, ὥστε πρὸς ἐκεῖνον ἀποβλέπειν τὴν πόλιν, ὁπότε σπουδαίου ἀνδρὸς δεηθείη· ὁ Σωκράτης, βουλόμενος κινεῖν τὸν Εὐθύδημον, Εὖηθες, ἔφη, εἶναι τὸ οἴεσθαι, τὰς μὲν ὀλίγου ἀξίας τέχνας μὴ γίγνεσθαι σπουδαίους ἄνευ διδασκάλων ἱκανῶν, τὸ δὲ προεστάναι πόλεως, πάντων ἔργων μέγιστον ὄν, ἀπὸ ταὐτομάτου παραγίγνεσθαι τοῖς ἀνθρώποις.

---

ingredi, ac si quid efficere vellet, sedere apud officinam fraenariam prope forum, ad eandem et ipse ibat cum quibusdam familiaribus suis. Ac primo quidem quodam interrogante, utrum Themistocles ex consuetudine cum aliquo sapienti viro, an vero natura, tantum civibus suis praestitisset, ut oculos in eum civitas conjiceret, si quando egregio viro opus esset; Socrates qui lacessere vellet Euthydemum, stultum esse dixit existimare, exigui quidem momenti artes absque magistris idoneis ad studiosos haud accedere; civitati vero praeesse (opus omnium maximum) ad homines sua sponte accedere.

Digitized by Google

Πάλιν δέ ποτε παρόντος τοῦ Εὐθυδήμου, ὁρῶν αὐτὸν ἀποχωροῦντα τῆς συνεδρίας, καὶ φυλαττόμενον, μὴ δόξῃ τὸν Σωκράτην θαυμάζειν ἐπὶ σοφίᾳ, Ὅτι μὲν, ἔφη, ὦ ἄνδρες, Εὐθύδημος οὑτοσὶ ἐν ἡλικίᾳ γενόμενος, τῆς πόλεως λόγον περί τινος προτιθείσης, οὐκ ἀφέξεται τοῦ συμβουλεύειν, εὔδηλόν ἐστιν ἐξ ὧν ἐπιτηδεύει. δοκεῖ δέ μοι καλὸν προοίμιον τῶν δημηγοριῶν παρασκευάσασθαι, φυλαττόμενος μὴ δόξῃ μανθάνειν τι παρά του. δῆλον γὰρ, ὅτι λέγειν ἀρχόμενος ὧδε προοιμιάσεται· " Παρ' οὐδενὸς μὲν πώποτε, ὦ ἄνδρες " Ἀθηναῖοι, οὐδὲν ἔμαθον, οὐδ', ἀκούων τινὰς " εἶναι λέγειν τε καὶ πράττειν ἱκανοὺς, " ἐζήτησα τούτοις ἐντυχεῖν, οὐδ' ἐπεμελήθην

Rursus quum adesset aliquando Euthydemus, quia videbat eum a consessu recedere, caventem scilicet, ne Socratem admirari ob sapientiam videretur: Euthydemum hunc, inquit, o viri, posteaquam adoleverit, civitate de re quapiam consultationem proponente, minime a consilio dando sibi temperaturum, satis ex ipsius studiis manifestum est. Et videtur mihi praeclarum jam orationum ad populum habendarum exordium parasse, qui caveat scilicet, ne videatur abs quoquam aliquid discere. Nimirum ubi dicendi volet initium facere, ita exordietur: " Equidem, o viri Athenien- " ses, a nullo unquam quid- " quam didici; et quum audi- " rem, esse quosdam dicendi " agendique peritos, non ta-

Digitized by Google

" τοῦ διδάσκαλόν τινά μοι γενέσθαι τῶν ἐπι-
" σταμένων· ἀλλὰ καὶ τἀναντία διατετέλε-
" κα φεύγων οὐ μόνον τὸ μανθάνειν τι παρά
" τινος, ἀλλὰ καὶ τὸ δόξαι. ὅρως δὲ, ὅ, τι
" ἂν ἀπὸ ταὐτομάτου ἐπίῃ μοι, συμβουλεύ-
" σω ὑμῖν." Ἁρμόσειε δ' ἂν οὕτω προοιμιά-
ζεσθαι καὶ τοῖς βουλομένοις παρὰ τῆς πό-
λεως ἰατρικὸν ἔργον λαβεῖν· ἐπιτήδειόν γ' ἂν
αὐτοῖς εἴη, τοῦ λόγου ἄρχεσθαι ἐντεῦθεν·
" Παρ' οὐδενὸς μὲν πώποτε, ὦ ἄνδρες Ἀθη-
" ναῖοι, τὴν ἰατρικὴν τέχνην ἔμαθον, οὐδ'
" ἐζήτησα διδάσκαλον ἐμαυτῷ γενέσθαι τῶν
" ἰατρῶν οὐδένα· διατετέλεκα γὰρ φυλαττό-
" μενος οὐ μόνον τὸ μαθεῖν τι παρὰ τῶν
" ἰατρῶν, ἀλλὰ καὶ τὸ δόξαι μεμαθηκέναι

" men, ut eos convenirem, ope-
" ram dedi; neque curam ad-
" hibui, ut hominem aliquem
" doctum mihi magistrum ad-
" jungerem: sed e contrario,
" semper fugi, non solum ne
" quid ab aliquo discerem, ve-
" rum etiam ne discere vide-
" rer. Nihilominus id consilii
" vobis dabo, quodcunque sua
" sponte mihi in animum ad-
" venerit." Eodem uti exor-
dio conveniret etiam iis, qui
medendi munus a republica
impetrare cuperent. " Nam
" illis ex usu fuerit, hinc ora-
" tionem ordiri: Equidem a
" nemine, viri Athenienses, me-
" dendi artem unquam didici,
" neque quenquam medicorum
" quaesivi, quo magistro ute-
" rer. Semper enim cavi non
" solum ne a medicis aliquid
" discerem, sed etiam ne vide-

Digitized by Google

" τὴν τέχνην ταύτην. ὅμως δέ μοι τὸ ἰατρι-
" κὸν ἔργον δότε· πειράσομαι γὰρ ἐν ὑμῖν
" ἀποκινδυνεύων μανθάνειν." Πάντες οὖν οἱ παρόντες ἐγέλασαν ἐπὶ τῷ προοιμίῳ.

Ἐπεὶ δὲ φανερὸς ἦν ὁ Εὐθύδημος ἤδη μὲν, οἷς ὁ Σωκράτης λέγοι, προσέχων, ἔτι δὲ φυλαττόμενος αὐτός τι φθέγγεσθαι, καὶ νομίζων τῇ σιωπῇ σώφροσύνης δόξαν περιβάλλεσθαι, τότε ὁ Σωκράτης, βουλόμενος αὐτὸν παῦσαι τούτου, Θαυμαστὸν γὰρ, ἔφη, τί ποτε, οἱ βουλόμενοι κιθαρίζειν ἢ αὐλεῖν ἢ ἱππεύειν ἢ ἄλλο τι τῶν τοιούτων ἱκανοὶ γενέσθαι, πειρῶνται ὡς συνεχέστατα ποιεῖν ὅ, τι ἂν βούλωνται δυνατοὶ γενέσθαι, καὶ οὐ καθ' ἑαυτούς, ἀλλὰ παρὰ τοῖς ἀρίστοις δοκοῦσιν εἶ-

" rer artem hanc didicisse. " Nihilominus velim medendi " munus mihi mandetis. Nam " enitar quidem, in vobis pe- " riculum faciendo, eam disce- " re." Ad hoc exordium arrisum est ab omnibus, qui aderant.

Ubi autem appareret Euthydemus iis quae a Socrate dicerentur jam animum attendere, verum adhuc cavere, ne quid ipse proloqueretur, arbitrarique se per silentium animi sani laudem sibi consecuturum: tum Socrates, qui vellet eum ab hoc instituto avocare, Mirum est, ait, quamobrem illi, qui cithara canere vel tibia cupiunt, vel equitandi artem discere, vel ad aliud ejusmodi quidpiam idonei fieri, non conentur hoc sane quam continuo agere, in quo valere volunt,

Digitized by Google

ναι, πάντα ποιοῦντες καὶ ὑπομένοντες ἕνεκα τοῦ μηδὲν ἄνευ τῆς ἐκείνων γνώμης ποιεῖν, ὡς οὐκ ἂν ἄλλως ἀξιόλογοι γενόμενοι· τῶν δὲ βουλομένων δυνατῶν γενέσθαι λέγειν τε καὶ πράττειν τὰ πολιτικὰ νομίζουσί τινες ἄνευ παρασκευῆς καὶ ἐπιμελείας αὐτόματοι ἐξαίφνης δυνατοὶ ταῦτα ποιεῖν ἔσεσθαι. Καίτοι γε τοσούτῳ ταῦτα ἐκείνων δυσκατεργαστότερα φαίνεται, ὅσῳ περ, πλειόνων περὶ ταῦτα πραγματευομένων, ἐλάττους οἱ κατεργαζόμενοι γίγνονται. δῆλον οὖν, ὅτι καὶ ἐπιμελείας δέονται πλείονος καὶ ἰσχυροτέρας οἱ τούτων ἐφιέμενοι, ἢ σὶ ἐκείνων.

Κατ' ἀρχὰς μὲν οὖν, ἀκούοντος Εὐθυδήμου, τοιούτους λόγους ἔλεγε Σωκράτης· ὡς δ'

---

neque marte suo, sed apud eos, qui praestare caeteris videntur, omnia tum agant, tum sustineant, ne quid absque illorum judicio faciant, quasi alia ratione praeclari evadere non possint: quum ex iis, qui facultatem dicendi, gerendique publicas res, adipisci volunt, nonnulli existimant se absque praeparatione, ac exercitatione, per se ac subito idoneos ad ea praestanda futuros. Atqui tanto haec illis effectu difficiliora sunt, quanto in his plures operam ponunt, ac pauciores quid conficiunt. Ex quo patet, ab eis et studium majus requiri et vehementius, qui haec concupiscunt, quam qui illa.

Hujusmodi quaedam, Euthydemo audiente, Socrates initio proferebat. Quum au-

Digitized by Google

ἥσθετο αὐτὸν ἑτοιμότερον ὑπομένοντα, ὅτε διαλέγοιτο, καὶ προθυμότερον ἀκούοντα, μόνος ἦλθεν εἰς τὸ ἡνιοποιεῖον· παρακαθεζομένου δ' αὐτῷ τοῦ Εὐθυδήμου, Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, τῷ ὄντι, ὥσπερ ἐγὼ ἀκούω, πολλὰ γράμματα συνῆχας τῶν λεγομένων σοφῶν ἀνδρῶν γεγονέναι; Νὴ τὸν Δί', ἔφη, ὦ Σώκρατες· καὶ ἔτι γε συνάγω, ἕως ἂν κτήσωμαι ὡς ἂν δύνωμαι πλεῖστα. Νὴ τὴν Ἥραν, ἔφη ὁ Σωκράτης, ἄγαμαί σου, διότι οὐκ ἀργυρίου καὶ χρυσίου προείλου θησαυροὺς κεκτῆσθαι μᾶλλον, ἢ σοφίας· δῆλον γάρ, ὅτι νομίζεις ἀργύριον καὶ χρυσίον οὐδὲν βελτίους ποιεῖν τοὺς ἀνθρώπους, τὰς δὲ τῶν σοφῶν ἀνδρῶν γνώμας ἀρετῇ πλουτίζειν τοὺς κεκτημένους.

---

tem animadverteret ipsum jam promptius ejus disputationes tolerare, atque alacrius eas audire, solus ad officinam habenarum opificis accessit. Quumque consedisset propter ipsum Euthydemus, Dic mihi, inquit, mi Euthydeme, an revera (quemadmodum audio) multa eorum scripta collegisti, qui viri sapientes fuisse dicuntur? Est ita profecto, mi Socrates, inquit, atque etiam modo colligo, donec comparavero mihi, quam fieri poterit, plurima. Miror te profecto, inquit Socrates, quod nec auri nec argenti thesauros tibi comparare malueris, quam sapientiae. Patet enim, quod existimes argentum et aurum homines nihilo meliores efficere; sed sapientum dicta virtute illos ditare, qui ea acquisiverint.

Digitized by Google

Καὶ ὁ Εὐθύδημος ἥσθη ἀκούων ταῦτα, νομίζων δοκεῖν τῷ Σωκράτει ὀρθῶς μετεῖναι τὴν σοφίαν.

Ὁ δὲ καταμαθὼν αὐτὸν ἡσθέντα τῷ ἐπαίνῳ τούτῳ, Τί δὲ δὴ βουλόμενος ἀγαθὸς γενέσθαι, ἔφη, ὦ Εὐθύδημε, συλλέγεις τὰ γράμματα; Ἐπεὶ δὲ διεσιώπησεν ὁ Εὐθύδημος, σκοπῶν ὅ, τι ἀποκρίναιτο, πάλιν ὁ Σωκράτης, Ἆρα μὴ ἰατρός; ἔφη· πολλὰ γὰρ καὶ ἰατρῶν ἐστι συγγράμματα. Καὶ ὁ Εὐθύδημος, Μὰ Δί', ἔφη, οὐκ ἔγωγε. Ἀλλὰ μὴ ἀρχιτέκτων βούλει γενέσθαι; γνωμονικοῦ γὰρ ἀνδρὸς καὶ τοῦτο δεῖ. Οὔκουν ἔγωγ', ἔφη. Ἀλλὰ μὴ γεωμέτρης ἐπιθυμεῖς, ἔφη, γενέσθαι ἀγαθός, ὥσπερ ὁ Θεόδωρος; Οὐδὲ

Haec quum audiret Euthydemus, gaudebat, ut qui existimaret videri Socrati, se sapientiam recte inquirere.

At ille animadvertens hominem ea laudatione delectatum: In quo vero, mi Euthydeme, inquit, peritus evadere desiderans, haec scripta colligis? Quumque taceret Euthydemus, secum quid responderet dispiciens: rursum Socrates, Num ut medicus fias? inquit: nam multa etiam medicorum scripta sunt. Minime quidem, inquit Euthydemus. At architectus fieri cogitas? Nam id quoque magno judicio hominem requirit. Non ego, inquit. At geometra bonus fieri

Digitized by Google

γεωμέτρης, ἔφη. Ἀλλὰ μὴ ἀστρολόγος, ἔφη, βούλει γενέσθαι; Ὡς δὲ καὶ τοῦτο ἠρνεῖτο, Ἀλλὰ μὴ ῥαψῳδός; ἔφη· καὶ γὰρ τὰ Ὁμήρου σέ φασιν ἔπη [πάντα] κεκτῆσθαι. Μὰ Δί' οὐκ ἔγωγ', ἔφη· τοὺς γάρ τοι ῥαψῳδοὺς οἶδα τὰ μὲν ἔπη ἀκριβοῦντας, αὐτοὺς δὲ πάνυ ἠλιθίους ὄντας. Καὶ ὁ Σωκράτης ἔφη· Οὐ δήπου, ὦ Εὐθύδημε, ταύτης τῆς ἀρετῆς ἐφίεσαι, δι' ἣν ἄνθρωποι πολιτικοὶ γίγνονται καὶ οἰκονομικοὶ καὶ ἄρχειν ἱκανοὶ, καὶ ὠφέλιμοι τοῖς τε ἄλλοις ἀνθρώποις καὶ ἑαυτοῖς; Καὶ ὁ Εὐθύδημος, Σφόδρα γ', ἔφη, ὦ Σώκρατες, ταύτης τῆς ἀρετῆς δέομαι. Νὴ Δί', ἔφη ὁ Σωκράτης, τῆς παλλίστης ἀρετῆς καὶ μεγίστης ἐφίεσαι τέχνης· ἔστι γὰρ τῶν

---

cupis, ut Theodorus? Ne geometra quidem. At astrologus fieri vis? Quum hoc quoque negasset: num carminum recitator? ait: nam te Homeri versus omnes habere dicunt. Minime profecto, inquit: nam recitatores versuum scio accurate quidem tenere versus, verum ipsos admodum esse stolidos. Et Socrates: Num profecto illam expetis virtutem, ait, mi Euthydeme, per quam homines rerum civilium et administrationis domesticae periti fiunt, et ad imperandum idonei, et utiles cum caeteris hominibus tum sibimetipsis? Heic Euthydemus, Vehementer, inquit, hac virtute mihi, mi Socrates, opus est. Profecto, ait Socrates, virtutem pulcherrimam, artemque maximam expetis. Nam regum

Digitized by Google

βασιλέων αὕτη, καὶ καλεῖται βασιλική. ἀτὰρ, ἔφη, κατανενόηκας, εἰ οἷόν τ' ἐστὶ, μὴ ὄντα δίκαιον, ἀγαθὸν ταῦτα γενέσθαι; Καὶ μάλα, ἔφη, καὶ οὐχ οἷόν τέ γε ἄνευ δικαιοσύνης ἀγαθὸν πολίτην γενέσθαι. Τί οὖν, ἔφη, σὺ δὴ τοῦτο κατείργασαι; Οἶμαί γε, ἔφη, ὦ Σώκρατες, οὐδενὸς ἂν ἧττον φανῆναι δίκαιος.

Ἆρ' οὖν, ἔφη, τῶν δικαίων ἐστὶν ἔργα, ὥσπερ τῶν τεκτόνων; Ἔστι μέντοι, ἔφη. Ἆρ' οὖν, ἔφη, ὥσπερ οἱ τέκτονες ἔχουσι τὰ ἑαυτῶν ἔργα ἐπιδεῖξαι, οὕτως οἱ δίκαιοι τὰ ἑαυτῶν ἔχοιεν ἂν διεξηγήσασθαι; Μὴ οὖν, ἔφη ὁ Εὐθύδημος, οὐ δύναμαι ἐγὼ τὰ τῆς δικαιοσύνης ἔργα ἐξηγήσασθαι; καὶ, νὴ Δί', ἔγωγε

ipsa est, ac regia vocatur. Sed an considerasti, ait, num is qui justus non est, in his rebus fieri possit bonus? Maxime vero, inquit: nec enim fieri potest, ut aliquis absque justitia civis bonus existat. Quid igitur? ait: tune hoc ut esses operatus fuisti? Arbitror equidem, mi Socrates, inquit, me nemine minus videri justum.

Ergone justorum hominum opera quaedam sunt, uti fabrorum? Sunt, inquit. Num igitur perinde ac fabri opera sua demonstrare possunt, sic et justi sua possunt enarrare? Ergo, subjecit Euthydemus, certe opera justitiae enarrare possum: quin et ego injustitiae profecto; nam ejusmodi non pauca quotidie tum cernere, tum audire est. Vis igi-

Digitized by Google

τὰ τῆς ἀδικίας· ἐπεὶ οὐκ ὀλίγα ἐστὶ καθ' ἑκάστην ἡμέραν τοιαῦτα ὁρᾶν τε καὶ ἀκούειν. Βούλει οὖν, ἔφη ὁ Σωκράτης, γράψωμεν ἐνταυθοῖ μὲν Δ, ἐνταυθοῖ δὲ Α; εἶτα ὅ, τι μὲν ἂν δοκῇ ἡμῖν τῆς δικαιοσύνης ἔργον εἶναι, πρὸς τὸ Δ τιθῶμεν, ὅ, τι δ' ἂν τῆς ἀδικίας, πρὸς τὸ Α; Εἴ τί σοι δοκεῖ, ἔφη, προσδεῖν τούτων, ποίει ταῦτα. Καὶ ὁ Σωκράτης γράψας ὥσπερ εἶπεν, Οὐκοῦν, ἔφη, ἔστιν ἐν ἀνθρώποις τὸ ψεύδεσθαι; Ἔστι μέντοι, ἔφη. Ποτέρωσε οὖν, ἔφη, θῶμεν τοῦτο; Δῆλον, ἔφη, ὅτι πρὸς τὴν ἀδικίαν. Οὐκοῦν, ἔφη, καὶ τὸ ἐξαπατᾶν ἐστι; Καὶ μάλα, ἔφη. Τοῦτο οὖν ποτέρωσε θῶμεν; Καὶ τοῦτο δῆλον ὅτι, ἔφη, πρὸς τὴν ἀδικίαν. Τί δὲ τὸ καπουρ-

---

tur, ait Socrates, heic quidem D, istic vero A scribamus? ac deinde quodcunque nobis esse opus justitiae videbitur, id ad D collocemus; quodcunque autem injustitiae, ad A? Facito vero haec, ait, si quid horum requiri tibi videtur. Et Socrates posteaquam haec ita, ut dixerat, scripsisset; Ergo, inquit, inter homines est mendacium? Est, inquit *Euthydemus*. Utra in parte hoc collocabimus? palam, inquit, quod ad injustitiam. Num et decipere? Omnino, ait. Utra in parte hoc collocabimus? Etiam hoc palam est, inquit, quod ad injustitiam. Quid damno afficere? Etiam hoc, inquit. Quid autem in servitutem redigere? Etiam hoc. Ad justitiam, mi Euthydeme, nihil horum collocabitur? Mirum sane

Digitized by Google

γεῖν; Καὶ τοῦτο, ἔφη. Τὸ δ' ἀνδραποδίζεσθαι; Καὶ τοῦτο. Πρὸς δὲ τῇ δικαιοσύνῃ οὐδὲν ἡμῖν τούτων πείσεται, ὧ Εὐθύδημε; Δεινὸν γὰρ ἂν εἴη, ἔφη. Τί δέ; ἐάν τις στρατηγὸς αἱρεθεὶς ἄδικόν τε καὶ ἐχθρὰν πόλιν ἐξανδραποδίσηται, φήσομεν τοῦτον ἀδικεῖν; Οὐ δῆτα, ἔφη. Δίκαια δὲ ποιεῖν οὐ φήσομεν; Καὶ μάλα. Τί δ' ἂν ἐξαπατᾷ πολεμῶν αὐτοῖς; Δίκαιον, ἔφη, καὶ τοῦτο. Ἐὰν δὲ κλέπτῃ τε καὶ ἁρπάζῃ τὰ τούτων, οὐ δίκαια ποιήσει; Καὶ μάλα, ἔφη· ἀλλ' ἐγώ σε τὸ πρῶτον ὑπελάμβανον πρὸς τοὺς φίλους μόνον ταῦτ' ἐρωτᾷν. Οὐκοῦν, ἔφη, ὅσα πρὸς τῇ ἀδικίᾳ ἐθήκαμεν, πάντα καὶ πρὸς τῇ δικαιοσύνῃ θετέον ἂν εἴη; Ἔοικεν, ἔφη.

---

id esset, ait. Quid autem si quis imperator lectus injustam et hostilem urbem in servitutem redigat, hunccine quidpiam in hoc injusti perpetrare dicemus? Nequaquam, ait. Nonne juste agere dicemus? Omnino. Quid si decipiat eos, dum bellum adversus illos gerit? Hoc quoque justum est, inquit. At si suffuretur, ac eripiat ipsorum res, nonne juste aget? Omnino, ait: at ego primum arbitrabar haec te respectu amicorum solummodo interrogare. Quaecunque igitur, inquit, ad injustitiam retuleramus, ea sunt omnia ad justitiam quoque referenda? Sic videtur, ait.

Digitized by Google

Βούλει οὖν, ἔφη, ταῦτα οὕτω θέντες διορισώμεθα πάλιν, πρὸς μὲν τοὺς πολεμίους δίκαιον εἶναι τὰ τοιαῦτα ποιεῖν, πρὸς δὲ τοὺς φίλους; ἄδικον· ἀλλὰ δεῖν πρός γε τούτους ὡς ἁπλούστατον εἶναι; Πάνυ μὲν οὖν, ἔφη ὁ Εὐθύδημος. Τί οὖν; ἔφη ὁ Σωκράτης, ἐάν τις στρατηγὸς, ὁρῶν ἀθύμως ἔχον τὸ στράτευμα, ψευσάμενος φήσῃ συμμάχους προσιέναι, καὶ τῷ ψεύδει τούτῳ παύσῃ τῆς ἀθυμίας τοὺς στρατιώτας, ποτέρωθι τὴν ἀπάτην ταύτην θήσομεν; Δοκεῖ μοι, ἔφη, πρὸς τὴν δικαιοσύνην. Ἐὰν δέ τις, υἱὸν ἑαυτοῦ δεόμενον φαρμακείας καὶ μὴ προσιέμενον φάρμακον ἐξαπατήσας, ὡς σῖτον τὸ φάρμακον δῷ, καὶ τῷ ψεύδει χρησάμενος οὕτως

Vis igitur, ait, his ita positis, iterum definiamus, adversus hostes quidem justum esse facere quaedam hujusmodi; sed injustum, adversus amicos: imo erga hos quam maxime simplicem esse oportere? Omnino, inquit Euthydemus. Quid igitur, inquit Socrates, si quis imperator dejectis animis esse copias suas videat, et conficto mendacio dicat adventare socios, atque hoc mendacio militibus animi dejectionem adimat; quanam ex parte fraudem hanc collocabimus? Videtur mihi ad justitiam, inquit. Si quis autem filium suum indigentem usu pharmacorum, et pharmacum respuentem, ita deceperit, ut pharmacum ei det loco cibi; eoque usus mendacio, valetudini eum restituat; haec item fraus ubi erit

Digitized by Google

ὑγιᾶ ποιήσῃ, ταύτην αὖ τὴν ἀπάτην ποῖ θετέον; Δοκεῖ μοι, ἔφη, καὶ ταύτην εἰς τὸ αὐτό. Τί δέ; ἄν τις, ἐν ἀθυμίᾳ ὄντος φίλου, δείσας μὴ διαχρήσηται ἑαυτὸν, κλέψῃ, ἢ ἁρπάσῃ ἢ ξίφος ἢ ἄλλο τι τοιοῦτον, τοῦτο αὖ ποτέρωσε θετέον; Καὶ τοῦτο, νὴ Δί', ἔφη, πρὸς τὴν δικαιοσύνην. Λέγεις, ἔφη, σὺ οὐδὲ πρὸς τοὺς φίλους ἅπαντα δεῖν ἁπλοΐζεσθαι; Μὰ Δί', οὐ δῆτα, ἔφη· ἀλλὰ μετατίθεμαι τὰ εἰρημένα, εἴπερ ἔξεστι. Δεῖ γέ τοι, ἔφη ὁ Σωκράτης, ἐξεῖναι πολὺ μᾶλλον, ἢ μὴ ὀρθῶς τιθέναι.

Τῶν δὲ δὴ τοὺς φίλους ἐξαπατώντων ἐπὶ βλάβῃ (ἵνα μηδὲ τοῦτο παραλείπωμεν ἄσκεπτον) πότερος ἀδικώτερός ἐστιν, ὁ ἑκὼν ἢ ὁ

collocanda? Videtur, inquit, ea quoque ad idem. Quid autem si quis, ubi dejecto animo amicus est, metuens, ne ille seipsum interficiat, suffuretur aut eripiat gladium vel quid aliud ejusmodi; utra iterum in parte hoc ponendum? Nimirum ad justitiam, inquit. Dicis tu, inquit, non debere nos etiam erga amicos in omnibus nosmet simplices exhibere. Non profecto, inquit; imo quae dixi, retracto, si quidem licet. Atqui, subjecit Socrates, multo magis hoc licere debet, quam non recte aliquid constituere.

Caeterum ex iis, qui amicos nocendi causa decipiunt, (ut ne hoc quidem haud consideratum relinquamus) uter injustior est, volens, an nolens? Ego vero, mi Socrates, non amplius eis fi-

Digitized by Google

ἄκων; Ἀλλ', ὦ Σώκρατες, οὐκ ἔτι μὲν ἔγωγε πιστεύω, οἷς ἀποκρίνομαι· καὶ γὰρ τὰ πρόσθεν πάντα νῦν ἄλλως ἔχειν δοκεῖ μοι, ἢ ὡς ἐγὼ τότε ᾤμην. ὅμως δὲ εἰρήσθω μοι ἀδυνατώτερον εἶναι τὸν ἑκόντα ψευδόμενον τοῦ ἄκοντος. Δοκεῖ δέ σοι μάθησις καὶ ἐπιστήμη τοῦ δικαίου εἶναι, ὥσπερ τῶν γραμμάτων; Ἔμοιγε. Πότερον δὲ γραμματικώτερον κρίνεις, ὃς ἂν ἑκὼν μὴ ὀρθῶς γράφῃ καὶ ἀναγινώσκῃ, ἢ ὃς ἂν ἄκων; Ὃς ἂν ἑκών, ἔγωγε· δύναιτο γὰρ ἄν, ὁπότε βούλοιτο, καὶ ὀρθῶς αὐτὰ ποιεῖν. Οὐκοῦν ὁ μὲν ἑκὼν μὴ ὀρθῶς γράφων γραμματικὸς ἂν εἴη, ὁ δὲ ἄκων, ἀγράμματος; Πῶς γὰρ οὔ; Τὰ δίκαια δὲ πότερον ὁ ἑκὼν ψευδόμενος καὶ ἐξαπατῶν οἷ-

---

dem habeo, quae respondeo. Nam quae diximus antehac omnia nunc aliter se habere mihi videntur, quam ego tum putarem. Sed tamen dictum a me esto, qui volens fallat, illo injustiorem esse, qui nolens. Num vero tibi esse doctrina quaedam et scientia justi videtur, uti literarum? Mihi quidem. Utrum vero magis esse literatum judicas, eumne qui volens non recte scribat et legat, an qui nolens? Qui volens scilicet; nam poterit is ubi volet, etiam recte utrumque facere. Qui ergo volens non recte scribit, literatus erit; qui vero nolens, illiteratus? Cur non? Utrum vero is, qui volens mentitur ac decipit, justa novit, an qui nolens?

Digitized by Google

δεν, ἢ ὁ ἄπων; Δῆλον ὅτι ὁ ἐκών. Οὐκοῦν γραμματικώτερον μὲν τὸν ἐπιστάμενον γράμματα τοῦ μὴ ἐπισταμένου φῂς εἶναι; Ναί. Δικαιότερον δὲ τὸν ἐπιστάμενον τὰ δίκαια τοῦ μὴ ἐπισταμένου; Φαίνομαι· δοκῶ δέ μοι καὶ ταῦτα, οὐκ οἶδ' ὅπως, λέγειν.

Τί δὲ δή; ὃς ἂν, βουλόμενος τἀληθῆ λέγειν, μηδέποτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγῃ, ἀλλ' ὁδόν τε φράζων τὴν αὐτὴν, ποτὲ μὲν πρὸς ἕω ποτὲ δὲ πρὸς ἑσπέραν φράζῃ, καὶ λογισμὸν ἀποφαινόμενος τὸν αὐτὸν, ποτὲ μὲν πλείω ποτὲ δ' ἐλάττω ἀποφαίνηται, τί σοι δοκεῖ ὁ τοιοῦτος; Δῆλος νὴ Δί' εἶναι, ὅτι, ἃ ᾤετο εἰδέναι, οὐκ οἶδεν. Οἶσθα δέ τινας ἀνδραποδώδεις καλουμένους; Ἔγωγε. Πό-

Nimirum is, qui volens. Ergo literatiorem illum, qui literas novit, eo putas esse, qui has ignorat? Ita. Et qui justa scit, eo justiorem qui nescit? Videor: et videor mihi haud scire, quo modo etiam haec dicerem.

Quid autem, si quis verum dicere velit, ac nunquam de iisdem eadem dicat, sed de eadem via loquens, modo quidem hanc versus orientem, modo versus occidentem dicat esse; et computationem eandem exhibens, modo plurem, modo pauciorem exhibeat; hic homo quid tibi videtur? Miser profecto esse, quippe qui nescit, quae scire se putat. An autem nosti quosdam, qui serviles homines appellantur? E-

Digitized by Google

τερον διὰ σοφίαν ἢ δι' ἀμαθίαν; Δῆλον ὅτι δι' ἀμαθίαν. Ἆρ' οὖν διὰ τὴν τοῦ χαλκεύειν ἀμαθίαν τοῦ ὀνόματος τούτου τυγχάνουσιν; Οὐ δῆτα. Ἀλλ' ἄρα διὰ τὴν τοῦ τεκταίνεσθαι; Οὐδὲ διὰ ταύτην. Ἀλλὰ διὰ τὴν τοῦ σκυτεύειν; Οὐδὲ δι' ἓν τούτων, ἔφη, ἀλλὰ καὶ τοὐναντίον· οἱ γὰρ πλεῖστοι τῶν γε τὰ τοιαῦτα ἐπισταμένων ἀνδραποδώδεις εἰσίν. Ἆρ' οὖν τῶν τὰ καλὰ καὶ ἀγαθὰ καὶ δίκαια μὴ εἰδότων τὸ ὄνομα τοῦτ' ἐστίν; Ἔμοιγε δοκεῖ, ἔφη. Οὐκοῦν δεῖ παντὶ τρόπῳ διατειναμένους φεύγειν, ὅπως μὴ ἀνδράποδα ὦμεν. Ἀλλὰ νὴ τοὺς θεούς, ἔφη, ὦ Σώκρατες, πάνυ ὤμην φιλοσοφεῖν φιλοσοφίαν, δι' ἧς ἂν μάλιστα ἐνόμιζον παιδευθῆναι

---

quidem. Num ob sapientiam, an propter inscitiam? Haud dubie propter inscitiam. Ergone propter inscitiam artis aerariae nomen hoc consequuntur? Minime. An ob fabricandi inscitiam? Ne hac quidem de causa. An ob sutoriae? Ob nihil horum; imo vero contrarium. Nam illi ut plurimum serviles sunt, qui res hujusmodi sciant. Ergo nomen hoc iis competit, qui pulchra et bona et justa ignorant? Mihi videtur, inquit. Extentis itaque viribus omni modo fugere oportet, ne mancipia simus. Per Deos immortales, inquit, mi Socrates, omnino me illi philosophiae studere putabam, per quam maxime existimabam in iis insti-

Digitized by Google

τὰ προσήκοντα ἀνδρὶ καλοκἀγαθίας ὀρεγομένῳ· νῦν δὲ πῶς οἴει με ἀθύμως ἔχειν, ὁρῶντα ἐμαυτὸν διὰ μὲν τὰ προπεπονημένα οὐδὲ τὸ ἐρωτώμενον ἀποκρίνασθαι δυνάμενον, ὑπὲρ ὧν μάλιστα χρὴ εἰδέναι, ἄλλην δὲ ὁδὸν οὐδεμίαν ἔχοντα, ἣν ἂν πορευόμενος βελτίων γενοίμην;

Καὶ ὁ Σωκράτης, Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, εἰς Δελφοὺς ἦδη πώποτε ἀφίκου; Καὶ δὶς γε, νὴ Δί', ἔφη. Κατέμαθες οὖν πρὸς τῷ ναῷ που γεγραμμένον τὸ Γνῶθι σαυτόν; Ἔγωγε. Πότερον οὖν οὐδέν σοι τοῦ γράμματος ἐμέλησεν, ἢ προσέσχες τε καὶ ἐπεχείρησας σαυτὸν ἐπισκοπεῖν, ὅστις εἶης; Μὰ Δί' οὐ δῆτα, ἔφη. καὶ γὰρ δὴ πάνυ τοῦτό γε

---

tui, quae homini pulchri bonique studioso convenirent: nunc quam moesto me putas esse animo, quum videam me per studia prius habita ne ad unum quidem de interrogatis respondere in iis posse, quae maxime scienda sunt; quumque *doctrinae* via nulla alia mihi restet, qua pergens evadam melior?

Tum Socrates, Dic mihi, mi Euthydeme, ait, Delphosne profectus aliquando es? Imo bis profecto, inquit. An animadvertisti ad templum alicubi scriptum esse, Nosce teipsum? Equidem. Utrum igitur id ita scriptum nihili fecisti, an advertisti animum, ac temet considerare conatus es, Qui sis? Minime pro-

Digitized by Google

ᾤμην εἰδέναι· σχολῇ γὰρ ἂν ἄλλο τι ἤδειν, εἴγε μηδ' ἐμαυτὸν ἐγίγνωσκον. Πότερα δέ σοι δοκεῖ γιγνώσκειν ἑαυτὸν, ὅστις τοὔνομα τὸ ἑαυτοῦ μόνον οἶδεν, ἢ ὅστις, ὥσπερ οἱ τοὺς ἵππους ὠνούμενοι, οὐ πρότερον οἴονται γιγνώσκειν, ὃν ἂν βούλωνται γνῶναι, πρὶν ἂν ἐπισκέψωνται, πότερον εὐπειθής ἐστιν ἢ δυσπειθὴς, καὶ πότερον ἰσχυρός [ἐστιν] ἢ ἀσθενὴς, καὶ πότερον ταχὺς ἢ βραδὺς, καὶ τἄλλα τὰ πρὸς τὴν τοῦ ἵππου χρείαν ἐπιτήδειά τε καὶ ἀνεπιτήδεια ὅπως ἔχει, οὕτως ἑαυτὸν ἐπισκεψάμενος, οἱοῖός ἐστι πρὸς τὴν ἀνθρωπίνην χρείαν, ἔγνωκε τὴν αὑτοῦ δύναμιν; Οὕτως ἔμοιγε δοκεῖ, ἔφη, ὁ μὴ εἰδὼς τὴν ἑαυτοῦ δύναμιν, ἀγνοεῖν ἑαυτόν.

---

fecto, inquit: nam prorsus id me putabam jam scire. Vix enim aliquid aliud scirem, si ne meipsum quidem nossem. Utrum vero tibi videtur is semet nosse, qui nomen tantum suum novit, an qui (equos ementium more, non prius equum se nosse putantium, quem nosse volunt, quam inspexerint, utrum sit tractabilis, necne; utrum robustus an debilis; utrum celer, an tardus; itemque in caeteris, quae vel equo conveniunt vel non conveniunt, quomodo se habet: ita et ipse) considerans semet, qualis sit ad usum humanum, vires suas novit? Sane mihi videtur is, ait, qui vires suas non noverit, seipsum non nosse.

Digitized by Google

Ἐκεῖνο δὲ οὐ φανερὸν, ἔφη, ὅτι, διὰ μὲν τὸ εἰδέναι ἑαυτοὺς, πλεῖστα ἀγαθὰ πάσχουσιν οἱ ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν, πλεῖστα κακά; οἱ μὲν γὰρ εἰδότες ἑαυτοὺς, τά τε ἐπιτήδεια ἑαυτοῖς ἴσασι, καὶ διαγιγνώσκουσιν ἅ τε δύνανται καὶ ἃ μή· καὶ ἃ μὲν ἐπίστανται πράττοντες, πορίζονταί τε ὧν δέονται, καὶ εὖ πράττουσιν· ὧν δὲ μὴ ἐπίστανται ἀπεχόμενοι, ἀναμάρτητοι γίγνονται, καὶ διαφεύγουσι τὸ κακῶς πράττειν· διὰ τοῦτο δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους δυνάμενοι δοκιμάζειν, καὶ διὰ τῆς τῶν ἄλλων χρείας τά τε ἀγαθὰ πορίζονται, καὶ τὰ κακὰ φυλάττονται. Οἱ δὲ μὴ εἰδότες, ἀλλὰ διεψευσμένοι τῆς ἑαυτῶν δυνάμεως, πρός τε

An vero non perspicuum est, inquit, ex eo quod se noverint, maxima homines bona percipere; quod autem suas vires ignorant, mala plurima? Nam qui seipsos norunt, quae sibi commoda sint, sciunt; et quae vel possint vel nequeant, dignoscunt; et quum faciant quae sciunt, comparant sibi ea quibus indigent, ac bene agunt: quumque ab illis abstineant quae nesciunt, non delinquunt, et, quo minus male agant, vitant: ac proinde caeteros quoque homines quum explorare possint, etiam ex aliorum usu bona sibi comparant, et a malis sibi cavent. Qui vero se ipsos ignorant, et plus virium tribuunt sibi, quam habent, illi ad homines caete-

Digitized by Google

τοὺς ἄλλους ἀνθρώπους καὶ τἄλλα ἀνθρώπινα πράγματα ὁμοίως διάκεινται, καὶ οὔτε ὧν δέονται ἴσασιν, οὔτε ὅ, τι πράττουσιν, οὔτε οἷς χρῶνται, ἀλλὰ πάντων τούτων διαμαρτάνοντες, τῶν τε ἀγαθῶν ἀποτυγχάνουσι, καὶ τοῖς κακοῖς περιπίπτουσι. Καὶ οἱ μὲν εἰδότες ὅ, τι ποιοῦσιν, ἐπιτυγχάνοντες ὧν πράττουσιν, εὔδοξοί τε καὶ τίμιοι γίγνονται, καὶ οἵ τε ὅμοιοι τούτοις ἡδέως χρῶνται, οἵ τε ἀποτυγχάνοντες τῶν πραγμάτων ἐπιθυμοῦσι τούτους ὑπὲρ αὑτῶν βουλεύεσθαι, καὶ προΐστασθαί τε ἑαυτῶν τούτους, καὶ τὰς ἐλπίδας τῶν ἀγαθῶν ἐν τούτοις ἔχουσι, καὶ διὰ πάντα ταῦτα πάντων μάλιστα τούτους ἀγαπῶσιν. Οἱ δὲ μὴ εἰδότες ἃ ποιοῦσι, κακῶς δὲ αἱρού-

---

ros resque humanas alias eodem modo affecti sunt; nec quibus opus sibi sit, norunt, nec quid agunt, nec quibus utuntur; sed ab omnibus his aberrantes, et bonis frustrantur, et in mala incidunt. Et qui, quum sciant quid faciunt, actionum suarum finem consequuntur, illi celebres honoratique evadunt; quique similes sunt, lubenter his utuntur; et qui frustrantur instituto suo, cupiunt hos sibi consiliis subvenire, sibique praeesse, ac spem suam in eis collocant, et propter haec omnia hos prae omnibus maxime diligunt. Qui vero nesciunt ea, quae agunt, et eligunt male, etiam iis, quae

Digitized by Google

μενοι καὶ οἷς ἂν ἐπιχειρήσωσιν ἀποτυγχάνοντες, οὐ μόνον ἐν αὐτοῖς τούτοις ζημιοῦνταί τε καὶ κολάζονται, ἀλλὰ καὶ ἀδοξοῦσι διὰ ταῦτα, καὶ καταγέλαστοι γίγνονται, καὶ καταφρονούμενοι καὶ ἀτιμαζόμενοι ζῶσιν. ὁρᾷς δὲ καὶ τῶν πόλεων ὅτι ὅσαι ἂν ἀγνοήσασαι τὴν ἑαυτῶν δύναμιν κρείττοσι πολεμήσωσιν, αἱ μὲν ἀνάστατοι γίγνονται, αἱ δὲ ἐξ ἐλευθέρων δοῦλαι. Καὶ ὁ Εὐθύδημος, Ὡς πάνυ μοι δοκεῖ, ὦ Σώκρατες, ἔφη, περὶ πολλοῦ ποιητέον εἶναι τὸ ἑαυτὸν γιγνώσκειν, οὕτως ἴσθι· ὁπόθεν δὲ χρὴ ἄρξασθαι ἐπισκοπεῖν ἑαυτὸν, τοῦτο πρός σε ἀποβλέπω, εἴ μοι ἐθελήσαις ἂν ἐξηγήσασθαι.

Οὐκοῦν, ἔφη ὁ Σωκράτης, τὰ μὲν ἀγαθὰ

---

moliti sunt, frustrati, non modo in his ipsis damno quodam ac poena multantur, sed etiam propter haec inglorii et ridiculi fiunt; et spreti dedecoreque notati vivunt. Vides etiam civitates, quotquot ignorantes vires suas bellum adversus potentiores suscipiunt, partim prorsus everti, partim ex liberis in servitutem redigi. Tum Euthydemus, Velim scias, inquit, mi Socrates, hoc, seipsum noscere, prorsus magni mihi faciendum videri; verum unde cognoscendi sui sit faciendum initium, ad te aspicio, si id mihi velis exponere.

Nosti tu omnino, inquit Socrates, qualia sint tum quae bona tum quae mala sunt. Profecto, ait: vel ipsis enim

Digitized by Google

καὶ τὰ κακὰ ὁποῖά ἐστι, πάντως που γιγνώσκεις. Νὴ Δί', ἔφη· εἰ γὰρ μηδὲ ταῦτα οἶδα, καὶ τῶν ἀνδραπόδων φαυλότερος ἂν εἴην. Ἴθι δή, ἔφη, καὶ ἐμοὶ ἐξήγησαι αὐτά. Ἀλλ' οὐ χαλεπὸν, ἔφη· πρῶτον μὲν γὰρ αὐτὸ τὸ ὑγιαίνειν ἀγαθὸν εἶναι νομίζω, τὸ δὲ νοσεῖν, κακόν· ἔπειτα τὰ αἴτια ἑκατέρου αὐτῶν καὶ ποτὰ καὶ βρωτὰ καὶ ἐπιτηδεύματα, τὰ μὲν πρὸς τὸ ὑγιαίνειν φέροντα, ἀγαθὰ, τὰ δὲ πρὸς τὸ νοσεῖν, κακά. Οὐκοῦν, ἔφη, καὶ τὸ ὑγιαίνειν καὶ τὸ νοσεῖν, ὅταν μὲν ἀγαθοῦ τινος αἴτια γίγνηται, ἀγαθὰ ἂν εἴη, ὅταν δὲ κακοῦ, κακά. Πότε δ' ἄν, ἔφη, τὸ μὲν ὑγιαίνειν κακοῦ αἴτιον γένοιτο, τὸ δὲ νοσεῖν, ἀγαθοῦ; Ὅταν, νὴ Δί', ἔφη, στρατείας τε αἰσχρᾶς καὶ ναυτιλίας

---

mancipiis vilior essem, si haec ignorarem. Age vero, inquit, mihi quoque illa exponito. Id quidem difficile non est, inquit *Euthydemus*. Primo, ipsum recte valere, bonum esse arbitror; morbo autem laborare, malum. Deinde, quae horum utriusque causae sunt, potus, cibi, studia, siqua rectam ad valetudinem conferunt, bona sunt: quae vero ad aegrotationem, mala. Ergo, inquit *Socrates*, tum recte valere, tum aegrotare, quum quidem boni alicujus causa sunt, bona fuerint scilicet: quum vero mali, mala. At quando, ait *Euthydemus*, recte quidem valere mali alicujus causa esse possit, aegrotare vero boni? Tum profecto, inquit, quum

Digitized by Google

βλαβερᾶς καὶ ἄλλων πολλῶν τοιούτων οἱ μὲν διὰ ῥώμην μετασχόντες ἀπόλωνται, οἱ δὲ δι' ἀσθένειαν ἀπολειφθέντες σωθῶσιν. Ἀληθῆ λέγεις. ἀλλ' ὁρᾷς, ἔφη, ὅτι καὶ τῶν ὠφελίμων οἱ μὲν διὰ ῥώμην μετέχουσιν, οἱ δὲ δι' ἀσθένειαν ἀπολείπονται. Ταῦτα οὖν, ἔφη, ποτὲ μὲν ὠφελοῦντα, ποτὲ δὲ βλάπτοντα, οὐ μᾶλλον ἀγαθὰ ἢ κακά ἐστιν. Οὐδὲν μὰ Δία φαίνεται, κατά γε τοῦτον τὸν λόγον.

Ἀλλ' ἤ γέ τοι σοφία, ὦ Σώκρατες, ἀναμφισβητήτως ἀγαθόν ἐστιν· ποῖον γὰρ ἄν τις πρᾶγμα οὐ βέλτιον πράττοι σοφὸς ὤν, ἢ ἀμαθής; Τί δέ; τὸν Δαίδαλον, ἔφη, οὐκ ἀκήκοας, ὅτι, ληφθεὶς ὑπὸ Μίνω διὰ τὴν σοφίαν, ἠναγκάζετο ἐκείνῳ δουλεύειν, καὶ τῆς

qui vel militiae turpi, vel navigationi damnosae, vel aliis plerisque talibus ob robur intersunt, pereant; alii vero, qui propter imbecillitatem absunt, incolumes evadunt. Vere dicis: sed vides, inquit, etiam nonnullos ob robur utilibus interesse, quum alii propter imbecillitatem absint. Ergo haec, ait, quum nunc prosint, nunc noceant, non magis bona quam mala sunt. Non profecto apparet, ait, secundum hanc quidem rationem.

Sed tamen sapientia, mi Socrates, haud dubie bonum est. Nam quale tandem negotium non melius efficiat sapiens, quam rudis? Quid vero? non audisti, inquit *Socrates*, Daedalum a Minoë ob sapientiam captum servitutem servire coactum fuisse, tum

Digitized by Google

τε πατρίδος ἅμα καὶ τῆς ἐλευθερίας ἐστερήθη, καὶ ἐπιχειρῶν ἀποδιδράσκειν μετὰ τοῦ υἱοῦ, τόν τε παῖδα ἀπώλεσε καὶ αὐτὸς οὐκ ἠδυνήθη σωθῆναι, ἀλλ' ἁπτευχθεὶς εἰς τοὺς βαρβάρους πάλιν ἐκεῖ ἐδούλευε; Λέγεται νὴ Δί', ἔφη, ταῦτα. Τὰ δὲ Παλαμήδους οὐκ ἀκήκοας πάθη; τοῦτον γὰρ δὴ πάντες ὑμνοῦσιν, ὡς διὰ σοφίαν φθονηθεὶς ὑπὸ τοῦ Ὀδυσσέως ἀπώλετο. Λέγεται καὶ ταῦτα, ἔφη. Ἄλλους δὲ πόσους οἴει διὰ σοφίαν ἀναρπάστους πρὸς βασιλέα γεγονέναι, καὶ ἐκεῖ δουλεύειν;

Κινδυνεύει, ἔφη, ὦ Σώκρατες, ἀναμφιλογώτατον ἀγαθὸν εἶναι τὸ εὐδαιμονεῖν. Εἴγε μή τις αὐτό, ἔφη, ὦ Εὐθύδημε, ἐξ

---

patria tum libertate orbatum: quumque aufugere cum filio conaretur, filium amisisse, ac ne ipsum quidem salvum elabi potuisse; sed ad barbaros delatum, rursus ibidem serviisse? Dicuntur illa sane, inquit. Et Palamedis calamitates nonne audisti? Hunc enim praedicant omnes, ob sapientiam Ulyssi invisum periisse. Id etiam fertur, ait. Quot item alios existimas ob sapientiam abreptos ad regem esse, atque istic servire?

Videtur, mi Socrates, ait, felicitas bonum esse maxime indubium. Nisi quis, inquit, mi Euthydeme, ex dubiis eam bonis componat. Quid autem, ait, dubium esse possit inter illa, quae ad felicitatem

Digitized by Google

ἀμφιλόγων ἀγαθῶν συντιθείη. Τί δ' ἄν, ἔφη, τῶν εὐδαιμονικῶν ἀμφίλογον εἴη; Οὐδέν, ἔφη, εἴγε μὴ προσθήσομεν αὐτῷ κάλλος ἢ ἰσχὺν ἢ πλοῦτον ἢ δόξαν ἢ καί τι ἄλλο τῶν τοιούτων. Ἀλλὰ νὴ Δία προσθήσομεν, ἔφη· πῶς γὰρ ἄν τις ἄνευ τούτων εὐδαιμονοίη; Νὴ Δί', ἔφη, προσθήσομεν ἄρα ἐξ ὧν πολλὰ καὶ χαλεπὰ συμβαίνει τοῖς ἀνθρώποις· πολλοὶ μὲν γὰρ διὰ τὸ κάλλος ὑπὸ τῶν ἐπὶ τοῖς ὡραίοις παρακεκινηκότων διαφθείρονται, πολλοὶ δὲ διὰ τὴν ἰσχὺν μείζοσιν ἔργοις ἐπιχειροῦντες οὐ μικροῖς κακοῖς περιπίπτουσι, πολλοὶ δὲ διὰ τὸν πλοῦτον διαθρυπτόμενοί τε καὶ ἐπιβουλευόμενοι ἀπόλλυνται, πολλοὶ δὲ διὰ τὴν δόξαν καὶ πολιτικὴν δύναμιν μεγάλα κακὰ πεπόνθασιν. Ἀλλὰ μὴν, ἔφη, εἴγε μηδὲ

---

pertinent? Nihil, inquit: modo non addamus ei pulchritudinem, vel robur, vel opes, vel gloriam, vel quid aliud ejusmodi. At vero, ait, haec addemus profecto: nam quo pacto sine his felix quisquam esse possit? Addemus igitur illa sane, inquit *Socrates*, ob quae multa, eaque gravia hominibus accidunt. Multi enim ob pulchritudinem ab iis violantur, qui erga forma elegantes indecore se movent: multi ob robur suum majora quaedam aggressi opera, non exiguas in calamitates incidunt: multi propter opes emolliti deliciis, ac insidiis petiti, pereunt: multi ob gloriam potentiamque in

Digitized by Google

τὸ εὐδαιμονεῖν ἐπαινῶν ὀρθῶς λέγω, ὁμολογῶ μηδὲ, ὅ, τι πρὸς τοὺς θεοὺς εὔχεσθαι χρὴ, εἰδέναι. Ἀλλὰ ταῦτα μὲν, ἔφη ὁ Σωκράτης, ἴσως, διὰ τὸ σφόδρα πιστεύειν εἰδέναι, οὐδ' ἔσκεψαι.

Ἐπεὶ δὲ πόλεως δημοκρατουμένης παρασκευάζῃ προεστάναι, δῆλον ὅτι δημοκρατίαν γε οἶσθα τί ἐστι. Πάντως δήπου, ἔφη. Δοκεῖ οὖν σοι δυνατὸν εἶναι, δημοκρατίαν εἰδέναι, μὴ εἰδότα δῆμον; Μὰ Δί', οὐκ ἔμοι γε. Καὶ τί νομίζεις δῆμον εἶναι; Τοὺς πένητας τῶν πολιτῶν ἔγωγε. Καὶ τοὺς πένητας ἄρα οἶσθα; Πῶς γὰρ οὔ; Ἆρ' οὖν καὶ τοὺς πλουσίους οἶσθα; Οὐδέν γε ἧττον ἢ καὶ τοὺς πένητας. Ποίους δὲ πένητας καὶ ποίους

republica, magna sunt mala perpessi. Enimvero, ait, si nec felicitatem ipsam laudans, recte dico; fateor me ne id quidem, quod precibus petendum a Diis sit, nosse. Fortasse tu haec, ait Socrates, non considerasti, propterea quod omnino scire te illa crederes.

Quia vero te paras, ut civitati praesis, in qua populus dominatur, haud dubie quid dominatus popularis sit, nosti. Omnino, ait. Ergone putas scire te posse, quid populi sit dominatus, si nescias, quid populus sit? Minime, inquit. Et quid putas esse populum? Equidem cives pauperes. Et pauperes igitur nosti? Qui non? Ergo etiam nosti divites? Nihilo minus quam pauperes. Quales autem pauperes et quales appellas divites?

Digitized by Google

πλουσίους καλεῖς; Τοὺς μὲν οἶμαι μὴ ἱκανὰ ἔχοντας εἰς ἃ δεῖ τελεῖν, πένητας, τοὺς δὲ πλείω τῶν ἱκανῶν, πλουσίους. Καταμεμάθηκας οὖν, ὅτι ἐνίοις μὲν πάνυ ὀλίγα ἔχουσιν οὐ μόνον ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ περιποιοῦνται ἀπ' αὐτῶν, ἐνίοις δὲ πάνυ πολλὰ οὐχ ἱκανά ἐστι; Καὶ νὴ Δί', ἔφη ὁ Εὐθύδημος· ὀρθῶς γάρ με ἀναμιμνήσκεις. οἶδα γὰρ καὶ τυράννους τινὰς, οἳ δι' ἔνδειαν, ὥσπερ οἱ ἀπορώτατοι, ἀναγκάζονται ἀδικεῖν. Οὐκοῦν, ἔφη ὁ Σωκράτης, εἴγε ταῦτα οὕτως ἔχει, τοὺς μὲν τυράννους εἰς τὸν δῆμον θήσομεν, τοὺς δὲ ὀλίγα κεκτημένους, ἐὰν οἰκονομικοὶ ὦσιν, εἰς τοὺς πλουσίους. Καὶ ὁ Εὐθύδημος ἔφη, ἀναγκάζει με καὶ ταῦτα ὁμολογεῖν δηλονότι ἡ

Pauperes arbitror esse, quibus non suppetit sumptus, quem facere decet: at quibus plus, quam satis est, suppetit, divites. Ergone unquam animadvertisti, nonnullis, qui admodum pauca possident, non solum ea ipsa sufficere, sed alia quoque de his lucrifacere; quum aliis etiam admodum multa non sufficiant? Ita est profecto, ait Euthydemus: nam recte me mones. Etenim quosdam tyrannos quoque novi, qui ob inopiam, perind ac maxime egeni, injuste coguntur agere. Ergo si haec, inquit Socrates, ita se habent, tyrannos quidem inter populum, eos autem qui pauca possident, si modo rei familiaris administrandae periti fuerint, inter opulentos ponemus. Etiam id fateri me, ait Euthyde-

Digitized by Google

ἐμὴ φαυλότης, καὶ φροντίζω μὴ κράτιστον ᾖ μοι σιγᾶν· κινδυνεύω γὰρ ἁπλῶς οὐδὲν εἰδέναι. Καὶ πάνυ ἀθύμως ἔχων ἀπῆλθε, καὶ καταφρονήσας ἑαυτοῦ, καὶ νομίσας τῷ ὄντι ἀνδράποδον εἶναι.

Πολλοὶ μὲν οὖν τῶν οὕτω διατεθέντων ὑπὸ Σωκράτους οὐκ ἔτι αὐτῷ προσήεσαν, οὓς καὶ βλακωτέρους ἐνόμιζεν· ὁ δὲ Εὐθύδημος ὑπέλαβεν οὐκ ἂν ἄλλως ἀνὴρ ἀξιόλογος γενέσθαι, εἰ μὴ ὅτι μάλιστα Σωκράτει συνείη· καὶ οὐκ ἀπελείπετο ἔτι αὐτοῦ, εἰ μή τι ἀναγκαῖον εἴη· ἔνια δὲ καὶ ἐμιμεῖτο, ὧν ἐκεῖνος ἐπεστήδευεν. ὁ δὲ ὡς ἔγνω αὐτὸν οὕτως ἔχοντα, ἥκιστα μὲν διετάραττεν, ἁπλούστατα δὲ καὶ σαφέστατα

---

mus, stupiditas mea cogit; adeoque jam cogito, optimumne fuerit, me silere: nam metuo, ne nihil sciam simpliciter. Itaque animo valde dejectus abiit, quum quidem et contemneret seipsum, et reapse mancipium se esse crederet.

Ac multi quidem hoc modo habiti a Socrate, non amplius eum conveniebant, quos etiam molliores esse putabat. Verum Euthydemus non alia se ratione hominem bona existimatione dignum posse fieri arbitrabatur, quam si cum Socrate frequentissime versaretur: et posthac ab eo non aberat, nisi quid rei necessariae impediret: quinetiam quaedam ipsius instituta imitabatur. Itaque Socrates, qui eum sic affectum esse animadverteret, minime ipsum per-

Digitized by Google

ἐξηγεῖτο, ἃ τε ἐνόμιζεν εἰδέναι δεῖν, καὶ ἐπιτηδεύειν κράτιστα εἶναι.

γ'. Το μὲν οὖν λεκτικοὺς καὶ πρακτικοὺς καὶ μηχανικοὺς γίγνεσθαι τοὺς συνόντας οὐκ ἔσπευδεν, ἀλλὰ πρότερον τούτων ᾤετο χρῆναι σωφροσύνην αὐτοῖς ἐγγενέσθαι. τοὺς γὰρ ἄνευ τοῦ σωφρονεῖν ταῦτα δυναμένους ἀδικωτέρους τε καὶ δυνατωτέρους κακουργεῖν ἐνόμιζεν εἶναι. Πρῶτον μὲν δὴ περὶ θεοὺς ἐπειρᾶτο σώφρονας ποιεῖν τοὺς συνόντας. ἄλλοι μὲν οὖν αὐτῷ πρὸς ἄλλους οὕτως ὁμιλοῦντι παραγενόμενοι διηγοῦντο· ἐγὼ δὲ, ὅτε πρὸς Εὐθύδημον τοιάδε διελέγετο, παρεγενόμην.

Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἦλθή ποτέ σοι

---

turbabat; sed quam simplicissime et clarissime exponebat, quae putabat eum scire debere; et quibus operam dare, esse optimum.

3. Non ille quidem familiares suos disserendi, agendi, ingeniose machinandi aliquid peritos efficere festinabat, sed prius existimabat oportere animi sanitatem ipsis indi. Nam qui sine animi sanitate his rebus valerent, eos et injustiores et ad nocendum potentiores esse arbitrabatur. Primum profecto enitebatur hoc efficere, ut familiares sui erga Deos animo sano uterentur. Et alii quidem, quum ipsius ad alios sermonibus interessent eos exposuerunt: ego vero aderam, quum ad Euthydemum hujusmodi quaedam disereret.

Dic mihi, mi Euthydeme, ait, venitne tibi in mentem co-

Digitized by Google

ἐπῆλθεν ἐνθυμηθῆναι, ὡς ἐπιμελῶς οἱ θεοὶ, ὧν οἱ ἄνθρωποι δέονται, κατεσκευάκασι; Καὶ ὅς, Μὰ τὸν Δί', ἔφη, οὐκ ἔμοιγε. Ἀλλ' οἶσθά γ', ἔφη, ὅτι πρῶτον μὲν φωτὸς δεόμεθα, ὃ ἡμῖν οἱ θεοὶ παρέχουσι; Νὴ Δί', ἔφη, ὃ γ' εἰ μὴ εἴχομεν, ὅμοιοι τοῖς τυφλοῖς ἂν ἦμεν, ἕνεκά γε τῶν ἡμετέρων ὀφθαλμῶν. Ἀλλὰ μὴν καὶ ἀναπαύσεώς γε δεομένοις ἡμῖν νύκτα παρέχουσι κάλλιστον ἀναπαυτήριον. Πάνυ γ', ἔφη, καὶ τοῦτο χάριτος ἄξιον. Οὐκοῦν καὶ ἐπειδὴ ὁ μὲν ἥλιος φωτεινὸς ὢν τάς τε ὥρας τῆς ἡμέρας ἡμῖν καὶ τἆλλα πάντα σαφηνίζει, ἡ δὲ νὺξ, διὰ τὸ σκοτεινὴ εἶναι, ἀσαφεστέρα ἐστὶν, ἄστρα ἐν τῇ νυκτὶ ἀνέφηναν,

---

ritare, quam diligenter Dii paraverint ea, quibus homines indigent? Et ille, Minime profecto, ait, mihi. At nosti, ait, primum nos lucis egere, re, quam Dii nobis suppeditant? Profecto, inquit: quam nisi haberemus, caecis essemus similes, quum nostri quidem oculi maxime vigerent. Atqui quum quiete etiam indigeamus, noctem nobis largiuntur, commodissimum quiescendi tempus. Hoc etiam, inquit, omnino gratias meretur. Quia vero Sol lucidus est, ac nobis horas diei, aliaque omnia clare demonstrat; nox autem propter tenebras est obscurior; astra noctu fecerunt apparere, quae noctis horas nobis indicarent, quo fit, ut multa, quae necesse sit, perficiamus. Ita est, inquit, Enim-

Digitized by Google

αἳ ἡμῖν τὰς ὥρας τῆς νυκτὸς ἐμφανίζει, καὶ διὰ τοῦτο πολλὰ ὧν δεόμεθα πράττομεν; Ἔστι ταῦτα, ἔφη. Ἀλλὰ μὴν ἥ γε σελήνη οὐ μόνον τῆς νυκτὸς, ἀλλὰ καὶ τοῦ μηνὸς, τὰ μέρη φανερὰ ἡμῖν ποιεῖ. Πάνυ μὲν οὖν, ἔφη. Τὸ δ', ἐπεὶ τροφῆς δεόμεθα, ταύτην ἡμῖν ἐκ τῆς γῆς ἀναδιδόναι, καὶ ὥρας ἁρμοττούσας πρὸς τοῦτο παρέχειν, αἳ ἡμῖν οὐ μόνον ὧν δεόμεθα πολλὰ καὶ παντοῖα παρασκευάζουσιν, ἀλλὰ καὶ οἷς εὐφραινόμεθα; Πάνυ, ἔφη, καὶ ταῦτα φιλάνθρωπα. Τὸ δὲ καὶ ὕδωρ ἡμῖν παρέχειν οὕτω πολλοῦ ἄξιον, ὥστε καὶ φύειν τε καὶ συναύξειν τῇ γῇ καὶ ταῖς ὥραις πάντα τὰ χρήσιμα ἡμῖν, συντρέφειν δὲ καὶ αὐτοὺς ἡμᾶς, καὶ μιγνύμενον πᾶσι τοῖς τρέ-

---

vero Luna non solum noctis, sed etiam mensis partes nobis patefacit. Omnino, ait. Quid autem? quum nutrimento egeamus, quod illud e terra nobis producant, et ad hoc anni tempora convenientia tribuant, quae nobis non modo quibus indigemus, multa atque omnimoda parant, sed ea quoque, quibus delectamur? Etiam haec, inquit, magnae sunt Deorum erga homines benevolentiae. Quod item nobis aquam largiantur, rem adeo pretiosam, ut et producat et augeat una cum terra et cum anni temporibus omnia, quae nobis usui sunt; simulque nos etiam alat, ac nutrimentis nostris omnibus admista faciat, ut et confici ea facilius possint, et utiliora sint et suaviora: quodque maxima nobis eandem co-

Digitized by Google

φουσιν ἡμᾶς, εὐκατεργαστότερά τε καὶ ὠφελιμώτερα καὶ ἡδίω ποιεῖν αὐτά· καὶ, ἐπειδὴ πλείστου δεόμεθα τούτου, ἀφθονέστατον αὐτὸ παρέχειν ἡμῖν; Καὶ τοῦτο, ἔφη, προνοητικόν. Τὸ δὲ καὶ τὸ πῦρ πορίσαι ἡμῖν, ἐπίκουρον μὲν ψύχους, ἐπίκουρον δὲ σκότους, συνεργὸν δὲ πρὸς πᾶσαν τέχνην καὶ πάντα ὅσα ὠφελείας ἕνεκα ἄνθρωποι κατασκευάζονται; ὡς γὰρ συνελόντι εἰπεῖν, οὐδὲν ἀξιόλογον ἄνευ πυρὸς ἄνθρωποι τῶν πρὸς τὸν βίον χρησίμων κατασκευάζονται. Ὑπερβάλλει, ἔφη, καὶ τοῦτο φιλανθρωπίᾳ. [Τὸ δὲ καὶ ἀέρα ἡμῖν ἀφθόνως οὕτω πανταχοῦ διαχῦσαι, οὐ μόνον πρόμαχον καὶ σύντροφον ζωῆς, ἀλλὰ καὶ πελάγη περᾶν δι' αὐτοῦ καὶ τὰ ἐπιτήδεια ἄλλος ἀλλαχόθι καὶ ἐν ἀλλοδαπῇ στελλόμενος

---

pia largiantur, quum illa plurimum egeamus? Hoc quoque, ait, providentiae opus est. Quod item nobis ignem dederint, praesidium quoddam adversus frigus et caliginem, omnibusque in opificiis, ac rebus caeteris, quas utilitatis causa suscipiunt homines, quasi quendam cooperatorem? Nam, ut summatim dicam, rerum ad vitam utilium nihil homines, quod operae pretium sit, absque igne parere possunt. Etiam hoc, inquit, benignitatis est eximiae. Quod item sol, ubi in hyemem se convertit, secedendo haec quidem maturat, illa vero exsiccat, quorum scilicet tempus praeteriit; ac ubi

Digitized by Google

πορίζεσθαι, πῶς οὐχ ὑπὲρ λόγον; Ἀνέκφραστον.] Τὸ δὲ τὸν ἥλιον, ἐπειδὰν ἐν χειμῶνι τράπηται, προσιέναι τὰ μὲν ἀδρύνοντα, τὰ δὲ ξηραίνοντα, ὧν καιρὸς διελήλυθεν· καὶ ταῦτα διαπραξάμενον μηκέτι ἐγγυτέρω προσιέναι, ἀλλ' ἀποτρέπεσθαι φυλαττόμενον μή τι ἡμᾶς μᾶλλον τοῦ δέοντος θερμαίνων βλάψῃ· καὶ, ὅταν αὖ πάλιν ἀπιὼν γένηται ἔνθα καὶ ἡμῖν δῆλόν ἐστιν ὅτι, εἰ προσωτέρω ἄπεισιν, ἀποπαγησόμεθα ὑπὸ τοῦ ψύχους, πάλιν αὖ τρέπεσθαι καὶ προσχωρεῖν, καὶ ἐνταῦθα τοῦ οὐρανοῦ ἀναστρέφεσθαι, ἔνθα ὢν μάλιστα ἡμᾶς ὠφελοίη; Νὴ τὸν Δί', ἔφη, καὶ ταῦτα παντάπασιν ἔοικεν ἀνθρώπων ἕνεκα γιγνομένοις. Τὸ δ' αὖ, ἐπειδὴ καὶ τοῦτο φανερὸν ὅτι οὐκ ἂν ὑπενέγκαιμεν οὔτε τὸ καῦμα οὔτε

id perfecit, non accedit propius, sed avertit sese, cavens ne supra modum nos calefaciendo laedat; ac quum eo recessit, ubi nobis manifestum est, fore ut frigore congelaremus, si quidem abiret longius, ad eam coeli partem revertitur, ubi nobis plurimum prodest? Profecto, ait, etiam haec omnino videntur hominum causa fieri. Quod item (quum hoc etiam manifestum sit, non posse nos nec aestum nec frigus tolerare, si repente illa fierent) sol ita paulatim accedat, atque ita paulatim abscedat, ut nosmet lateat ad utraque vehementissima jam constitutos? Ego quidem hoc ipsum, ait

Digitized by Google

τὸ ψύχος εἰ ἐξαπίνης γίγνοιτο, οὕτω μὲν κατὰ μικρὸν προσιέναι τὸν ἥλιον, οὕτω δὲ κατὰ μικρὸν ἀπιέναι, ὥστε λανθάνειν ἡμᾶς εἰς ἑκάτερα τὰ ἰσχυρότατα καθισταμένους; Ἐγὼ μέν, ἔφη ὁ Εὐθύδημος, ἤδη τοῦτο σκοπῶ, εἰ ἄρα τί ἐστι τοῖς θεοῖς ἔργον, ἢ ἀνθρώπους θεραπεύειν· ἐκεῖνο δὲ μόνον ἐμποδίζει με, ὅτι καὶ τἄλλα ζῶα τούτων μετέχει.

Οὐ γὰρ καὶ τοῦτ', ἔφη ὁ Σωκράτης, φανερὸν, ὅτι καὶ ταῦτα ἀνθρώπων ἕνεκα γίγνεταί τε καὶ ἀνατρέφεται; τί γὰρ ἄλλο ζῶον αἰγῶν τε καὶ ὑῶν καὶ ἵππων καὶ βοῶν καὶ ὄνων καὶ τῶν ἄλλων ζώων τοσαῦτα ἀγαθὰ ἀπολαύει, ὅσα ἄνθρωποι; ἐμοὶ μὲν γὰρ δοκεῖ πλείω τῶν φυτῶν· τρέφονται γοῦν καὶ χρημα-

---

Euthydemus, modo considero, aliudne quippiam Diis sit negotium, quam ut hominibus inserviant. Nam illud solum mihi est impedimento, quod haec animalibus etiam caeteris communia sint.

An vero non perspicuum est, ait Socrates, etiam haec animalia hominum causa nasci et nutriri? Quod enim aliud animal tot commoda percipit ex capris, suibus, equis, bobus, asinis, animalibusque caeteris, quot homines? Mihi quidem videtur, eos plura *ex animalibus commoda*, quam ex plantis capere. Nam et aluntur, et sibi rem faciunt non minus ex his *(animalibus scil.)*, quam ex illis *(scil. plantis.)* Et magna pars hominum nascentibus e terra non utitur ad cibum, sed pecudum lacte, caseo, carnibus

Digitized by Google

τίζονται οὐδὲν ἧττον ἀπὸ τούτων ἢ ἀπ' ἐκείνων· πολὺ δὲ γένος ἀνθρώπων τοῖς μὲν ἐκ τῆς γῆς φυομένοις εἰς τροφὴν οὐ χρῶνται, ἀπὸ δὲ βοσκημάτων γάλακτι καὶ τυρῷ καὶ κρέασι τρεφόμενοι ζῶσι· πάντες δὲ τιθασσεύοντες καὶ δαμάζοντες τὰ χρήσιμα τῶν ζώων, εἴς τε πόλεμον καὶ εἰς ἄλλα πολλὰ συνεργοῖς χρῶνται. Ὁμογνωμονῶ σοι καὶ τοῦτ', ἔφη· ὁρῶ γὰρ αὐτῶν καὶ τὰ πολὺ ἰσχυρότερα ἡμῶν, οὕτως ὑποχείρια γιγνόμενα τοῖς ἀνθρώποις, ὥστε χρῆσθαι αὐτοῖς ὅ, τι ἂν βούλωνται.

Τὸ δ', ἐπειδὴ πολλὰ μὲν καλὰ καὶ ὠφέλιμα, διαφέροντα δὲ ἀλλήλων, ἐστί, προσθεῖναι τοῖς ἀνθρώποις αἰσθήσεις ἁρμοττούσας πρὸς ἕκαστα, δι' ὧν ἀπολαύομεν πάντων τῶν ἀγαθῶν; τὸ δὲ καὶ λογισμὸν ἡμῖν ἐμφῦσαι, ᾧ,

nutriti vivunt. Animalibus, quae utilia sunt, cicuratis ac domitis, omnes ad bellum aliaque multa utuntur, veluti coadjutoribus. In hoc etiam assentior tibi, ait. Nam inter ea video quaedam longe nobis fortiora, adeo tamen in potestatem hominum redacta, ut eis quamcunque ad rem velint, utuntur.

Quod item *Dii* (quum multa sint pulchra et utilia, sed inter se diversa) sensus hominibus addiderint ad singula congruentes, per quos bonis omnibus fruimur? Item quod rationem nobis a natura concesserint, qua, de rebus sensilibus ratiocinando et reminiscendo, discimus, ad quae singula conducant, multaque me-

Digitized by Google

περὶ ὧν αἰσθανόμεθα, λογιζόμενοί τε καὶ μνημονεύοντες καταμανθάνομεν, ὅπῃ ἕκαστα συμφέρει, καὶ πολλὰ μηχανώμεθα, δι' ὧν τῶν τε ἀγαθῶν ἀπολαύομεν καὶ τὰ κακὰ ἀλεξόμεθα; Τὸ δὲ καὶ ἑρμηνείαν δοῦναι, δι' ἧς πάντων τῶν ἀγαθῶν μεταδίδομέν τε ἀλλήλοις διδάσκοντες, καὶ κοινωνοῦμεν, καὶ νόμους τιθέμεθα, καὶ πολιτευόμεθα; Παντάπασιν ἐοίκασιν, ὦ Σώκρατες, οἱ θεοὶ πολλὴν τῶν ἀνθρώπων ἐπιμέλειαν ποιεῖσθαι.

Τὸ δὲ καὶ, εἰ ἀδυνατοῦμεν τὰ συμφέροντα προνοεῖσθαι ὑπὲρ τῶν μελλόντων, ταύτῃ αὐτοὺς ἡμῖν συνεργεῖν, διὰ μαντικῆς τοῖς συνθανομένοις φράζοντας τὰ ἀποβησόμενα, καὶ διδάσκοντας ᾗ ἂν ἄριστα γίγνοιντο; Σοὶ δ', ἔφη, ὦ Σώκρατες, ἐοίκασιν ἔτι φιλικώτερον ἢ τοῖς

---

limur, per quae bonis fruamur, et mala depellamus. Quod interpretandi facultatem largiti sint, per quam invicem omnia bona inter nos docendo communicamus, et leges nobismet ipsis ferimus, et rempublicam administramus. Omnino videntur, mi Socrates, valde Dii de hominibus esse soliciti.

Quam vero nobis in futurum utilia prospicere non possumus, quod ipsi nos in hoc ita juvent, ut per divinationem consulentibus futura indicent, et quo pacto fiant optime, doceant. Te quidem, ait, mi Socrates, etiam familiarius uti videntur, quam caeteris, quando tibi, ne quidem a te interroga-

Digitized by Google

ἄλλοις χρῆσθαι, εἴγε μηδὲ ἐπερωτώμενοι ὑπό σου προσημαίνουσί σοι, ἅ τε χρὴ ποιεῖν καὶ ἃ μή.

Ὅτι δέ γε ἀληθῆ λέγω, καὶ σὺ, ὦ Εὐθύδημε, γνώσῃ, ἂν μὴ ἀναμένῃς, ἕως ἂν τὰς μορφὰς τῶν θεῶν ἴδῃς, ἀλλ' ἐξαρκῇ σοι, τὰ ἔργα αὐτῶν ὁρῶντι, σέβεσθαι καὶ τιμᾶν τοὺς θεούς. ἐννόει δὲ, ὅτι καὶ αὐτοὶ οἱ θεοὶ οὕτως ὑποδεικνύουσιν· οἵ τε γὰρ ἄλλοι ἡμῖν τὰ ἀγαθὰ διδόντες, οὐδὲν τούτων εἰς τοὐμφανὲς ἰόντες διδόασιν, καὶ ὁ τὸν ὅλον κόσμον συντάττων τε καὶ συνέχων, ἐν ᾧ πάντα καλὰ καὶ ἀγαθά ἐστι, καὶ ἀεὶ μὲν χρωμένοις ἀτριβῆ τε καὶ ὑγιᾶ καὶ ἀγήρατον παρέχων, θᾶττον δὲ νοήματος ἀναμαρτήτως ὑπηρετοῦν-

---

ti, praesignificant, quid vel faciendum vel non faciendum sit.

At verum me dicere etiam tu intelliges, si non exspectaveris, donec Deorum formas intuearis; sed suffecerit inspicienti eorum opera, tum venerari, tum honore prosequi Deos. Cogita etiam Deos ipsos ita submonere. Nam et Dii cæteri, quum bona nobis largiantur, nihil horum ita largiuntur, ut in apertum prodeant; et IS, qui mundum universum composuit et continet, in quo pulchra et bona omnia sunt, quique utentibus eo semper expertem detrimenti, et morbi, et senectutis exhibet; atque etiam cogitatione celerius obsequentem sine ullo errore; is, *inquam*, maxima quaeque e

Digitized by Google

τα, οὗτος τά μέγιστα μὲν πράττων ὁρᾶται, τάδε δὲ οἰκονομῶν ἀόρατος ἡμῖν ἐστιν. Ἐννόει δὲ, ὅτι καὶ ὁ πᾶσι φανερὸς δοκῶν εἶναι ἥλιος οὐκ ἐπιτρέπει τοῖς ἀνθρώποις ἑαυτὸν ἀκριβῶς ὁρᾶν, ἀλλ', ἐάν τις αὐτὸν ἀναιδῶς ἐγχειρῇ θεᾶσθαι, τὴν ὄψιν ἀφαιρεῖται. Καὶ τοὺς ὑπηρέτας δὲ τῶν θεῶν εὑρήσεις ἀφανεῖς ὄντας· κεραυνός τε γὰρ ὅτι μὲν ἄνωθεν ἀφίεται δῆλον, καὶ ὅτι οἷς ἂν ἐντύχῃ πάντων κρατεῖ, ὁρᾶται δ' οὔτ' ἐπιὼν οὔτε κατασκήψας οὔτε ἀπιών· καὶ ἄνεμοι αὐτοὶ μὲν οὐχ ὁρῶνται, ἃ δὲ ποιοῦσι φανερὰ ἡμῖν ἐστι, καὶ προσιόντων αὐτῶν αἰσθανόμεθα. ἀλλὰ μὴν καὶ ἀνθρώπου γε ψυχὴ, εἴπερ τι καὶ ἄλλο τῶν ἀνθρωπίνων, τοῦ θείου μετέχει· ὅτι μὲν

---

consilio agere conspicitur, hoc tamen universum gubernans, a nobis cerni non potest. Et cogita, quod sol, quum etiam omnibus conspicuus esse videatur, non permittit hominibus, uti se accurate aspiciant; sed si quis eum rectis oculis intueri conetur, visum adimit. Sed et Deorum ministros conspici non posse reperies. Nam fulmen desuper demitti patet; et omnia, in quae incidit, vincere: non tamen vel quum accedit, vel quum ferit, vel quum recedit, cernitur. Nec venti videntur, quanquam eorum effecta nobis conspicua sint; et accedentes eos sentiamus. Quinetiam (si quid rerum humanarum aliud) anima hominis certe de divina natura par-

Digitized by Google

γὰρ βασιλεύει ἐν ἡμῖν φανερὸν, ὁρᾶται δὲ οὐδ' αὐτή. ἃ χρὴ κατανοοῦντα μὴ καταφρονεῖν τῶν ἀοράτων, ἀλλ' ἐκ τῶν γιγνομένων τὴν δύναμιν αὐτῶν καταμανθάνοντα, τιμᾷν τὸ δαιμόνιον.

Ἐγὼ μὲν, ὦ Σώκρατες, ἔφη ὁ Εὐθύδημος, ὅτι μὲν οὐδὲ μικρὸν ἀμελήσω τοῦ δαιμονίου σαφῶς οἶδα· ἐκεῖνο δὲ ἀθυμῶ, ὅτι μοι δοκεῖ τὰς τῶν θεῶν εὐεργεσίας οὐδ' ἂν εἷς ποτε ἀνθρώπων ἀξίαις χάρισιν ἀμείβεσθαι.

Ἀλλὰ μὴ τοῦτο ἀθύμει, ἔφη, ὦ Εὐθύδημε· ὁρᾷς γὰρ, ὅτι ὁ ἐν Δελφοῖς θεὸς, ὅταν τις αὐτὸν ἐπερωτᾷ, πῶς ἂν τοῖς θεοῖς χαρίζοιτο, ἀποκρίνεται, Νόμῳ πόλεως. Νόμος δὲ δήπου πανταχοῦ ἐστι κατὰ δύναμιν ἱεροῖς

---

ticipat. Patet enim hanc in nobis imperare; nec tamen ipsa cernitur. Quae considerantem te, nequaquam ea quae cerni nequeant, contemnere decet; sed ex iis quae fiunt, eorum potestate animadversa, numen ipsum honore prosequi.

Ego certe scio me, ait Euthydemus, ne minima quidem in parte numen, mi Socrates, neglecturum: verum id mihi molestum est, quod mihi ne unus quidem hominum beneficia divina unquam gratiis rependere meritis videtur.

Tibi vero, mi Euthydeme, ait, molestum hoc ne sit. Vides enim Delphicum Deum interrogatum, quo pacto quis gratificari Diis possit, respondere, Ex civitatis instituto. Est autem certe institutum hoc ubique, pro facultatibus Deos

Digitized by Google

θεοὺς ἀρέσκεσθαι. πῶς οὖν ἄν τις κάλλιον καὶ εὐσεβέστερον τιμῴη θεοὺς, ἢ, ὡς αὐτοὶ κελεύουσιν, οὕτω ποιῶν; Ἀλλὰ χρὴ τῆς μὲν δυνάμεως μηδὲν ὑφίεσθαι· ὅταν γάρ τις τοῦτο ποιῇ, φανερὸς δήπου ἐστὶ τότε οὐ τιμῶν θεούς. χρὴ οὖν μηδὲν ἐλλείποντα κατὰ δύναμιν τιμᾷν τοὺς θεοὺς, θαῤῥεῖν τε, καὶ ἐλπίζειν τὰ μέγιστα ἀγαθά· οὐ γὰρ παῤ ἄλλων γ' ἄν τις μείζω ἐλπίζων σωφρονοίη, ἢ παρὰ τῶν τὰ μέγιστα ὠφελεῖν δυναμένων, οὐδ' ἂν ἄλλως μᾶλλον, ἢ εἰ τούτοις ἀρέσκοι· ἀρέσκοι δὲ πῶς ἂν μᾶλλον, ἢ εἰ ὡς μάλιστα πείθοιτο αὐτοῖς; Τοιαῦτα μέντοι λέγων τε, καὶ αὐτὸς ποιῶν, εὐσεβεστέρους τε καὶ σωφρονεστέρους τοὺς συνόντας παρεσκεύαζεν.

---

sacrificiis placare. Qui ergo possit aliquis rectius et religiosius Deos honorare, quam si ita agat, ut ipsimet jubent? Sed de facultatibus minime aliquid remittere oportet: nam quum aliquis hoc facit, eo tempore se Deos haud honorare palam indicat. Itaque nihil remittentem Deos honorare pro facultatibus, sibi confidere decet, et bona maxima sperare. Nemo enim animo sano uteretur, si ab ullis aliis majora speraret, quam ab iis qui plurimum prodesse possunt: nec alia potius ratione, quam si his placeat: et quo pacto magis placere possit, quam si maxime ipsis obtemperet? Haec tum dicens tum ipse faciens, et religiosiores et animo saniores reddebat familiares suos.

Digitized by Google

γ. Ἀλλὰ μὴν καὶ περὶ τοῦ δικαίου γε οὐκ ἀπεκρύπτετο ἣν εἶχε γνώμην, ἀλλὰ καὶ ἔργῳ ἐπεδείκνυτο, ἰδίᾳ τε πᾶσι νομίμως τε καὶ ὠφελίμως χρώμενος καὶ κοινῇ, ἄρχουσί τε ἃ οἱ νόμοι προστάττοιεν πειθόμενος καὶ κατὰ πόλιν καὶ ἐν ταῖς στρατείαις οὕτως, ὥστε διάδηλος εἶναι παρὰ τοὺς ἄλλους εὐτακτῶν. Καί ποτε ἐν ταῖς ἐκκλησίαις ἐπιστάτης γενόμενος οὐκ ἐπέτρεψε τῷ δήμῳ παρὰ τοὺς νόμους ψηφίσασθαι, ἀλλὰ σὺν τοῖς νόμοις ἠναντιώθη τοιαύτῃ ὁρμῇ τοῦ δήμου, ἣν οὐκ ἂν οἶμαι ἄλλον οὐδένα ἄνθρωπον ὑπομεῖναι. Καὶ ὅτε οἱ τριάκοντα προσέταττον αὐτῷ παρὰ τοὺς νόμους τι, οὐκ ἐπείθετο. τοῖς τε γὰρ νέοις ἀπαγορευόντων αὐτῶν μὴ διαλέ-

4. Nec de justitia quidem sententiam suam occultabat, sed eam reipsa declarabat, quum privatim ac publice erga omnes ex legum praescripto et utiliter se gereret, ac magistratibus, in iis quae lex mandat, adeo tum domi tum militiae pareret, ut supra caeteros eum se recte atque ordine gerere palam esset. Et aliquando praeses comitiorum factus non permisit plebi, ut praeter leges suffragiis sententias ferret, sed cum legibus tanto impetui plebis adversatus est, quantum non puto ullum alium hominem toleraturum fuisse. Et quum Triginta viri contra leges aliquid ei praecipiebant, non obtemperabat. Nam quum edixissent, ne

Digitized by Google

γεσθαι, καὶ προσταξάντων ἐκείνῳ τε καὶ ἄλλοις τισὶ τῶν πολιτῶν ἀγαγεῖν τινα ἐπὶ θανάτῳ, μόνος οὐκ ἐπείσθη, διὰ τὸ παρὰ τοὺς νόμους αὐτῷ προστάττεσθαι. Καὶ ὅτε τὴν ὑπὸ Μελίτου γραφὴν ἔφευγε, τῶν ἄλλων εἰωθότων ἐν τοῖς δικαστηρίοις πρὸς χάριν τε τοῖς δικασταῖς διαλέγεσθαι καὶ κολακεύειν καὶ δεῖσθαι παρὰ τοὺς νόμους, καὶ διὰ τὰ τοιαῦτα πολλῶν πολλάκις ὑπὸ τῶν δικαστῶν ἀφιεμένων, ἐκεῖνος οὐδὲν ἠθέλησε τῶν εἰωθότων ἐν τῷ δικαστηρίῳ παρὰ τοὺς νόμους ποιῆσαι, ἀλλὰ ῥᾳδίως ἂν ἀφεθεὶς ὑπὸ τῶν δικαστῶν, εἰ καὶ μετρίως τι τούτων ἐποίησε, προείλετο μᾶλλον τοῖς νόμοις ἐμμένων ἀποθανεῖν, ἢ παρανομῶν ζῆν.

---

ad adolescentes dissereret, ac mandassent tum ipsi tum aliis quibusdam civibus, ut quendam ad mortem adducerent, solus non paruit, propterea quod contra leges mandaretur. Quum itidem, accusante Melito, reus ageretur, quanquam aliis in more sit apud tribunalia ad gratiam judicum captandam disserere, et adulari, et rogare praeter leges, quibus sane artibus multi multoties a Judicibus absolvuntur; ille nihil horum usu receptorum apud tribunal praeter leges facere voluit: sed tametsi facillime absolvi a Judicibus potuisset, si vel modice horum aliquid fecisset, perstare tamen in legibus maluit ac mori, quam praeter leges aliquid designando vivere.

Digitized by Google

Καὶ ἔλεγε δὲ οὕτω καὶ πρὸς ἄλλους μὲν πολλάκις, οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς Ἱππίαν τὸν Ἠλεῖον περὶ τοῦ δικαίου. τοιάδε διαλεχθέντα. διὰ χρόνου γὰρ ἀφικόμενος ὁ Ἱππίας Ἀθήναζε, παρεγένετο τῷ Σωκράτει. λέγοντι πρός τινας, ὡς θαυμαστὸν εἴη, τὸ, εἰ μέν τις βούλοιτο σκυτέα διδάξασθαί τινα ἢ τέκτονα ἢ χαλκέα ἢ ἱππέα, μὴ ἀπορεῖν ὅποι ἂν πέμψας τούτου τύχοι· [φασὶ δέ τινες, καὶ ἵππον καὶ βοῦν τῷ βουλομένῳ δικαίους ποιήσασθαι, πάντα μεστὰ εἶναι τῶν διδαξόντων] ἐὰν δέ τις βούληται ἢ αὐτὸς μαθεῖν τὸ δίκαιον, ἢ υἱὸν, ἢ οἰκέτην διδάξασθαι, μὴ εἰδέναι ὅποι ἂν ἐλθὼν τύχοι τούτου. Καὶ ὁ μὲν Ἱππίας ἀκούσας ταῦτα, ὥσπερ ἐπισκώπτων αὐ-

Atque hujusmodi quaedam ad alios etiam saepe dixit: et ipse memini eum aliquando de justitia ita ad Hippiam Eleum disseruisse. Quippe quum longo ex intervallo Athenas venisset Hippias, Socrati aderat, dicenti ad quosdam, mirum esse, quod si quis sibi sutorem aliquem, vel fabrum, vel artificem aerarium, vel equitem erudiri velit, non desint loca, ad quae illo misso possit hoc impetrare: (aiunt quidem aliqui, si equum ac bovem quis ad operas suas idoneos velit effici, omnia plena iis esse qui hos docere volunt) at si quis vel ipse quidnam sit justum discere cupiat, vel sibi filium vel famulum erudiri, non scire se, quo accedere possit, ut hoc consequatur. Quae quum audisset Hippias, tanquam irri-

Digitized by Google

τὸν, Ἔτι γὰρ σὺ, ἔφη, ὦ Σώκρατες, ἐκεῖνα τὰ αὐτά λέγεις, ἃ ἐγὼ πάλαι ποτέ σου ἤκουσα; Καὶ ὁ Σωκράτης, Ὃ δέ γε τούτου δεινότερον, ἔφη, ὦ Ἱππία, οὐ μόνον ἀεὶ τὰ αὐτὰ λέγω, ἀλλὰ καὶ περὶ τῶν αὐτῶν. σὺ δ' ἴσως, διὰ τὸ πολυμαθὴς εἶναι, περὶ τῶν αὐτῶν οὐδέποτε τὰ αὐτὰ λέγεις. Ἀμέλει, ἔφη, πειρῶμαι καινόν τι λέγειν ἀεί. Πότερον, ἔφη, καὶ περὶ ὧν ἐπίστασαι, οἷον περὶ γραμμάτων, ἐάν τις ἔρηταί σε, πόσα καὶ ποῖα Σωκράτους ἐστὶν, ἄλλα μὲν πρότερον, ἄλλα δὲ νῦν πειρᾷ λέγειν; ἢ περὶ ἀριθμῶν τοῖς ἐρωτῶσιν εἰ τὰ δὶς πέντε δέκα ἐστὶν, οὐ τὰ αὐτὰ νῦν, ἃ καὶ πρότερον, ἀποκρίνῃ; Περὶ μὲν τούτων, ἔφη, ὦ Σώκρατες, ὥσπερ σὺ,

---

dens Socratem, ait: num adhuc tu, mi Socrates, illa ipsa dicis, quae ego de te jam olim audivi? Et Socrates, Imo quod hoc etiam gravius est, inquit, mi Hippia, non modo semper eadem dico, sed etiam de iisdem. Tu vero fortasse, quod sis admodum doctus, de iisdem eadem nunquam dicis. Certe, inquit, semper aliquid novi proferre conor. Num et de iis, ait *Socrates*, quae scis, verbi gratia, de literis, si quis te roget, quot et quales sint literae Socratis alia prius, alia nunc dicere conaris? vel de numeris si qui rogent, an bis quinque sint decem, non eadem nunc, quae et prius, respondes? De his, ait, mi Socrates, et ego perinde ac tu,

Digitized by Google

καὶ ἐγὼ ἀεὶ τὰ αὐτὰ λέγω· περὶ μέντοι τοῦ δικαίου πάνυ οἶμαι νῦν ἔχειν εἰπεῖν, πρὸς ἃ οὔτε σὺ οὔτ' ἂν ἄλλοις οὐδεὶς δύναιτ' ἀντειπεῖν. Νὴ τὴν Ἥραν, ἔφη, μέγα λέγεις ἀγαθὸν εὑρηκέναι, εἰ παύσονται μὲν οἱ δικασταὶ δίχα ψηφιζόμενοι, παύσονται δὲ οἱ πολῖται περὶ τῶν δικαίων ἀντιλέγοντές τε καὶ ἀντιδικοῦντες καὶ στασιάζοντες, παύσονται δὲ αἱ πόλεις διαφερόμεναι περὶ τῶν δικαίων καὶ πολεμοῦσαι. καὶ ἐγὼ μὲν οὐκ οἶδ', ὅπως ἂν ἀπολειφθείην σου, πρὸ τοῦ ἀκοῦσαι τηλικοῦτον ἀγαθὸν εὑρηκότος.

Ἀλλὰ μὰ Δί', ἔφη, οὐκ ἀκούσῃ, πρίν γ' ἂν αὐτὸς ἀποφήνῃ, ὅ, τι νομίζεις τὸ δίκαιον

---

semper eadem dico. Caeterum de eo, quod justum est, nunc me dicere posse omnino arbitror, quae neque tu, neque quisquam alius contradicere queat. Magnum profecto, ait, bonum reperisse te refers, si quidem Judices diversa statuere desinent, et cives de iis, quae justa sint, disceptare, experiri jure, dissidere; denique civitates ipsae discordes esse de iis, quae justa sint, bellaque gerere desinent. Atque equidem quo modo abs te relinqui possim prius, quam te, qui tantum bonum inveneris, audierim, non video.

At tu profecto, inquit, non audies, priusquam ipse pronunciaris, quid esse justum statuas. Nam sufficit tibi alios

Digitized by Google

εἶναι. ἀρκεῖ γὰρ, ὅτι τῶν ἄλλων καταγελᾷς, ἐρωτῶν μὲν καὶ ἐλέγχων πάντας, αὐτὸς δὲ οὐδενὶ θέλων ὑπέχειν λόγων οὐδὲ γνώμην ἀποφαίνεσθαι περὶ οὐδενός. Τί δέ; ὦ Ἱππία, ἔφη, οὐκ ἤσθησαι, ὅτι ἐγὼ, ἃ δοκεῖ μοι δίκαια εἶναι, οὐδὲν παύομαι ἀποδεικνύμενος; Καὶ ποῖος δή σοι, ἔφη, οὗτος ὁ λόγος ἐστίν; Εἰ δὲ μὴ λόγῳ, ἔφη, ἀλλ' ἔργῳ ἀποδείκνυμαι. ἢ οὐ δοκεῖ σοι ἀξιοτεκμαρτότερον τοῦ λόγου τὸ ἔργον εἶναι; Πολύ γε νὴ Δί', ἔφη· δίκαια μὲν γὰρ λέγοντες πολλοὶ ἄδικα ποιοῦσι, δίκαια δὲ πραττόντων οὐδ' ἂν εἷς ἄδικος εἴη. Ἤσθησαι οὖν πώποτέ μου ἢ ψευδομαρτυροῦντος, ἢ συκοφαντοῦντος, ἢ φίλους ἢ πόλιν εἰς στάσιν ἐμβάλλοντος, ἢ ἄλλο

irridere, interroganti et convincenti omnes; quum ipse nemini respondere velis, neque sententiam tuam ulla de re proferre. Quid vero, mi Hippia? inquit, an nescis me illa quae justa putem, nunquam non indicare? Et cujusmodi ea, inquit, oratio tua est? At si non oratione, ait, saltem reipsa demonstro. Non tibi res ipsa videtur fide dignior esse, quam sit oratio? Multo magis profecto, ait. Nam multi, quum justa dicant, injusta faciunt: at qui justa agit e consilio, injustus esse nequit. Sensistine vero unquam me, vel falsum testimonium perhibuisse, vel calumniatum quemquam, vel amicos aut civitatem ad seditionem impulisse, vel aliud quidpiam injusti e consilio egisse? Minime equi-

Digitized by Google

τι ἄδικον πράττοντος; Οὐκ ἔγωγε, ἔφη. Τὸ δὲ τῶν ἀδίκων ἀπέχεσθαι οὐ δίκαιον ἡγῇ; Δῆλος εἶ, ἔφη, ὦ Σώκρατες, καὶ νῦν διαφεύγειν ἐγχειρῶν τὸ ἀποδείκνυσθαι γνώμην, ὅ, τι νομίζεις τὸ δίκαιον· οὐ γὰρ ἃ πράττουσιν οἱ δίκαιοι, ἀλλ' ἃ μὴ πράττουσι, ταῦτα λέγεις.

Ἀλλ' ὤμην ἔγωγε, ἔφη ὁ Σωκράτης, τὸ μὴ θέλειν ἀδικεῖν, ἱκανὸν δικαιοσύνης ἐπίδειγμα εἶναι. εἰ δέ σοι μὴ δοκεῖ, σκέψαι ἐὰν τόδε σοι μᾶλλον ἀρέσκῃ· φημὶ γὰρ ἐγὼ τὸ νόμιμον δίκαιον εἶναι. Ἆρα τὸ αὐτὸ λέγεις, ὦ Σώκρατες, νόμιμόν τε καὶ δίκαιον εἶναι; Ἔγωγε, ἔφη. Οὐ γὰρ αἰσθάνομαί σου, ὁποῖον νόμιμον ἢ ποῖον δίκαιον λέγεις.

---

dem, ait. Ab injustis autem abstinere, non justum esse arbitraris? Palam, ait, mi Socrates, etiam nunc conaris effugere, quominus sententiam tuam proferas, quid justum esse putas. Non enim ea dicis, quae justi agunt e consilio, sed ea quae non agunt.

Ego vero, ait Socrates, satis idoneum esse justitiae specimen arbitrabar, nolle quid injuste designare. Quod si hoc tibi non videtur, considera, num magis hoc tibi placeat. Nam equidem aio, Quod legitimum est, id esse justum. Dicis, mi Socrates, idem esse legitimum et justum? Equidem, ait. Non sentio, quid legitimum, quid justum dicas. Leges civitatis, inquit, an nosti? Equidem,

Digitized by Google

Νόμους δὲ πόλεως, ἔφη, γιγνώσκεις; Ἔγωγε, ἔφη. Καὶ τίνας τούτους νομίζεις; Ἃ οἱ πολῖται, ἔφη, συνθέμενοι, ἅ τε δεῖ ποιεῖν καὶ ὧν ἀπέχεσθαι, ἐγράψαντο. Οὐκοῦν, ἔφη, νόμιμος μὲν ἂν εἴη ὁ κατὰ ταῦτα πολιτευόμενος, ἄνομος δὲ ὁ ταῦτα παραβαίνων; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ δίκαια μὲν πράττοι ὁ τούτοις πειθόμενος, ἄδικα δὲ ὁ τούτοις ἀπειθῶν; Πάνυ μὲν οὖν. Οὐκοῦν ὁ μὲν τὰ δίκαια πράττων, δίκαιος· ὁ δὲ τὰ ἄδικα, ἄδικος; Πῶς γὰρ οὔ; Ὁ μὲν ἄρα νόμιμος, δικαιός ἐστιν, ὁ δὲ ἄνομος, ἄδικος. Καὶ ὁ Ἱππίας, νόμους δ', ἔφη, ὦ Σώκρατες, πῶς ἄν τις ἡγήσαιτο σπουδαῖον πρᾶγμα εἶναι, ἢ τὸ πείθεσθαι αὐτοῖς, οὕς γε πολλάκις αὐτοὶ οἱ

---

ait. Et quas putas illas esse? Quae cives, inquit, conscripserunt, statuentes quae facere et a quibus abstinere oporteat. Ergo legibus conformis erit, ait, qui secundum haec in civitate sese gerit; difformis vero legibus, qui ea transgreditur? Omnino, inquit. Igitur etiam ille qui his obtemperat, justa agit e consilio; injusta vero, qui non obtemperat? Omnino. Ergo qui justa agit e consilio, justus: qui injusta, injustus est? Qui non? Itaque legibus conformis justus est: difformis vero legibus, injustus. Tum Hippias, Quo pacto aliquis, mi Socrates, ait, vel leges, vel ipsarum observantiam, rem magni faciendam putare possit, quum eas ipsimet auctores sae-

Digitized by Google

θέμενοι ἀποδοκιμάσαντες μετατίθενται; Καὶ γὰρ πόλεμον, ἔφη ὁ Σωκράτης, πολλάκις ἀράμεναι αἱ πόλεις, πάλιν εἰρήνην ποιοῦνται; Καὶ μάλα, ἔφη. Διάφορον οὖν τι οἴει ποιεῖν, ἔφη, τοὺς τοῖς νόμοις πειθομένους φαυλίζων, ὅτι καταλυθεῖεν ἂν οἱ νόμοι, ἢ εἰ τοὺς ἐν τοῖς πολέμοις εὐτακτοῦντας ψέγοις, ὅτι γένοιτ' ἂν εἰρήνη; ἢ καὶ τοὺς ἐν τοῖς πολέμοις ταῖς πατρίσι προθύμως βοηθοῦντας μέμφῃ; Μὰ Δί' οὐκ ἔγωγ', ἔφη.

Λυκοῦργον δὲ τὸν Λακεδαιμόνιον, ἔφη ὁ Σωκράτης, καταμεμάθηκας, ὅτι οὐδὲν ἂν διάφορον τῶν ἄλλων πόλεων τὴν Σπάρτην ἐποίησεν, εἰ μὴ τὸ πείθεσθαι τοῖς νόμοις μάλιστα ἐνειργάσατο αὐτῇ; τῶν δὲ ἀρχόντων

---

pe improbatas mutent? Non enim bellum, inquit Socrates, saepe civitates suscipiunt, ac rursus pacem faciunt? Omnino, ait. Ergone quid aliud facere te putas, inquit, quum legibus obtemperantes vituperas, propterea quod antiquari possint; quam si hostes recte ac decore se gerentes reprehendas, propterea quod pax fieri possit? Num et illos, qui alacriter in bellis succurrunt patriae, vituperas? Minime equidem, ait.

An Lycurgum Lacedaemonium, ait Socrates, animadvertisti, alia re nulla Spartam a caeteris civitatibus diversam reddidisse, quam quod in ea maxime perfecerit, ut legibus cives obtemperent? An item

Digitized by Google

ἐν ταῖς πόλεσιν οὐκ οἶσθα, ὅτι, οἵτινες ἂν τοῖς πολίταις αἰτιώτατοι ὦσι τοῦ τοῖς νόμοις πείθεσθαι, οὗτοι ἄριστοί εἰσι; καὶ πόλις, ἐν ᾗ μάλιστα οἱ πολῖται τοῖς νόμοις πείθονται, ἐν εἰρήνῃ τε ἄριστα διάγει, καὶ ἐν πολέμῳ ἀνυπόστατός ἐστιν. Ἀλλὰ μὴν καὶ ὁμόνοιά γε μέγιστόν τε ἀγαθὸν δοπεῖ ταῖς πόλεσιν εἶναι, καὶ πλειστάκις ἐν αὐταῖς αἵ τε γερουσίαι καὶ οἱ ἄριστοι ἄνδρες παρακελεύονται τοῖς πολίταις ὁμονοεῖν, καὶ πανταχοῦ ἐν τῇ Ἑλλάδι νόμος κεῖται, τοὺς πολίτας ὀμνύναι ὁμονοήσειν, καὶ πανταχοῦ ὀμνύουσι τὸν ὅρκον τοῦτον. οἶμαι δ' ἐγὼ ταῦτα γίγνεσθαι, οὐχ ὅπως τοὺς αὐτοὺς χοροὺς κρίνωσιν οἱ πολῖται, οὐδ' ὅπως τοὺς αὐτοὺς αὐλητὰς ἐπαινῶσιν,

---

nescis magistratus in civitatibus optimos esse, qui maxime sunt auctores civibus, ut legibus obtemperent? Etiam civitas, in qua maxime legibus parent cives, tum pace optime degit, tum bello inexpugnabilis est. Quinetiam concordia maximum rebuspublicis bonum esse videtur; et ut plurimum in eis Senatus, ac optimi quique cives, uti concordes sint, hortantur: et ubique in Graecia lex posita est, "Ut jurent cives se "concordes fore;" quod etiam sacramentum ubique praestatur. Existimo autem haec fieri, non ut de iisdem choris cives *idem* judicent, non ut tibicines eosdem laudent, non ut

Digitized by Google

οὐδ' ὅπως τοὺς αὐτοὺς ποιητὰς αἱρῶνται, οὐδ' ἵνα τοῖς αὐτοῖς ἥδωνται, ἀλλ' ἵνα τοῖς νόμοις πείθωνται. τούτοις γὰρ τῶν πολιτῶν ἐμμενόντων, αἱ πόλεις ἰσχυρόταταί τε καὶ εὐδαιμονέσταται γίγνονται· ἄνευ δὲ ὁμονοίας οὔτ' ἂν πόλις εὖ πολιτευθείη, οὔτ' οἶκος καλῶς οἰκηθείη.

Ἰδίᾳ δὲ πῶς μὲν ἄν τις ἧττον ὑπὸ πόλεως ζημιοῖτο; πῶς δ' ἂν μᾶλλον τιμῷτο, ἢ εἰ τοῖς νόμοις πείθοιτο; πῶς δ' ἂν ἧττον ἐν τοῖς δικαστηρίοις ἡττῷτο; ἢ πῶς ἂν μᾶλλον νικῴη; τίνι δ' ἄν τις μᾶλλον πιστεύσειε παρακαταθέσθαι ἢ χρήματα ἢ υἱοὺς ἢ θυγατέρας; τίνα δ' ἂν ἡ πόλις ὅλη ἀξιοπιστότερον ἡγήσαιτο τοῦ νομίμου; παρὰ τίνος δ' ἂν

---

eosdem poëtas deligant, non ut eisdem delectentur; sed ut legibus obtemperent. Nam si cives in his persistant, civitates potentissimae beatissimaeque fiunt. At sine concordia nec civitas recte gubernari poterit, nec domus recte administrari.

Privatim vero qui possit aliquis vel minus a civitate multari, vel magis honorari, quam si legibus obtemperet? Quo pacto minus pro tribunalibus vinci possit? Quo pacto magis vincere? Cui quis potius fidem habeat, ut apud eum vel pecunias, vel filios, vel filias tanquam deposita tradat? Quemnam civitas universa fide digniorem putare possit, quam legibus conformem? A quibus

Digitized by Google

μᾶλλον τῶν δικαίων τύχοιεν ἢ γονεῖς ἢ οἰκεῖοι ἢ οἰκέται ἢ φίλοι ἢ πολῖται ἢ ξένοι; τίνι δ' ἂν μᾶλλον πολέμιοι πιστεύσειαν ἢ ἀνοχὰς ἢ σπονδὰς ἢ συνθήκας περὶ εἰρήνης; τίνι δ' ἂν μᾶλλον, ἢ τῷ νομίμῳ, σύμμαχοι ἐθέλοιεν γίγνεσθαι; τῷ δ' ἂν μᾶλλον οἱ σύμμαχοι πιστεύσειαν ἢ ἡγεμονίαν ἢ φρουραρχίαν ἢ πόλεις; τίνα δ' ἄν τις εὐεργετήσας ὑπολάβοι χάριν κομιεῖσθαι μᾶλλον, ἢ τὸν νόμιμον; ἢ τίνα μᾶλλον ἄν τις εὐεργετήσειεν, ἢ παρ' οὗ χάριν ἀπολήψεσθαι νομίζει; τῷ δ' ἄν τις βούλοιτο μᾶλλον φίλος εἶναι ἢ τῷ ἥττον ἐχθρὸς, ἢ τῷ τοιούτῳ; τῷ δ' ἄν τις ἥττον πολεμήσειεν, ἢ ᾧ ἂν μάλιστα μὲν φίλος εἶναι βούλοιτο, ἥκιστα δὲ ἐχθρὸς, καὶ ᾧ

---

vel parentes, vel propinqui, vel famuli, vel amici, vel cives, vel hospites magis ea impetrare possint, quae justa sunt? Cui potius hostes vel inducias, vel foedera, vel conventa de pace credant? cum quo potius societatem coire velint, quam cum legibus conformi? Cui potius socii vel ducis munus, vel praesidiorum magisterium, vel civitates credant? Cui potius aliquis benefaciendo gratiam se reportaturum existimet, quam legibus conformi? Aut cui potius bene faciat aliquis, quam a quo se gratiam recepturum arbitretur? Cui quis vel magis amicus esse velit, vel minus hostis, quam tali? Cui quis velit minus bellum facere, quam cui esse cupiat amicissimus, ac minime hostis: et cui plurimi quidem

Digitized by Google

πλεῖστοι μὲν φίλοι καὶ σύμμαχοι βούλοιντο εἶναι, ἐλάχιστοι δ' ἐχθροὶ καὶ πολέμιοι; Ἐγὼ μὲν οὖν, ὦ Ἱππία, τὸ αὐτὸ ἐπιδείκνυμι νόμιμόν τε καὶ δίκαιον εἶναι· σὺ δ' εἰ τἀναντία γιγνώσκεις, δίδασκε. Καὶ ὁ Ἱππίας, Ἀλλὰ, μὰ τὸν Δία, ἔφη, ὦ Σώκρατες, οὔ μοι δοκῶ τἀναντία γιγνώσκειν οἷς εἴρηκας περὶ τοῦ δικαίου.

Ἀγράφους δέ τινας οἶσθα, ἔφη, ὦ Ἱππία, νόμους; Τοὺς γ' ἐν πάσῃ, ἔφη, χώρᾳ κατὰ ταὐτὰ νομιζομένους. Ἔχοις ἂν οὖν εἰπεῖν, ἔφη, ὅτι οἱ ἄνθρωποι αὐτοὺς ἔθεντο; Καὶ πῶς ἄν; ἔφη, οἵ γε οὔτε συνελθεῖν ἅπαντες ἂν δυνηθεῖεν, οὔτε ὁμόφωνοί εἰσι. Τίνας οὖν, ἔφη, νομίζεις τεθεικέναι τοὺς νόμους τούτους;

---

esse velint amici et socii; inimici vero ac hostes, paucissimi? Itaque ego, mi Hippia, demonstro idem esse quod legitimum sit, et quod justum. Tu si contrarium sentias, velim me doceas. Ego vero, inquit Hippias, non profecto videor iis contraria sentire de justo, quae tu, mi Socrates, protulisti.

An vero quasdam, mi Hippia, inquit, non scriptas leges esse nosti? Eas, ait, quae ubivis locorum similiter existimantur. Potesne igitur, ait, dicere, has homines sibi posuisse? Quo pacto, inquit; quum universi convenire non potuissent, nec unius sint linguae? Quosnam igitur, ait, leges has posuisse arbitraris?

Digitized by Google

Ἐγὼ μέν, ἔφη, θεοὺς οἶμαι τοὺς νόμους τούτους τοῖς ἀνθρώποις θεῖναι. καὶ γὰρ παρὰ πᾶσιν ἀνθρώποις πρῶτον νομίζεται τοὺς θεοὺς σέβειν. Οὐκοῦν καὶ γονέας τιμᾷν πανταχοῦ νομίζεται; Καὶ τοῦτο, ἔφη. Οὐκοῦν καὶ μήτε γονέας παισὶ μίγνυσθαι μήτε παῖδας γονεῦσιν; Οὐκ ἔτι μοι δοκεῖ, ἔφη, ὦ Σώκρατες, οὗτος θεοῦ νόμος εἶναι. Τί δή; ἔφη. Ὅτι αἰσθάνομαί τινας, ἔφη, παραβαίνοντας αὐτόν. Καὶ γὰρ ἄλλα πολλὰ, ἔφη, παρανομοῦσιν· ἀλλ' οὖν δίκην γέ τοι διδόασιν οἱ παραβαίνοντες τοὺς ὑπὸ τῶν θεῶν κειμένους νόμους, ἢν οὐδενὶ τρόπῳ δυνατὸν ἀνθρώπῳ διαφυγεῖν, ὥσπερ τοὺς ὑπ' ἀνθρώπων κειμένους νόμους ἔνιοι παραβαίνοντες διαφεύγουσι τὸ δί-

---

Equidem, ait, has leges hominibus posuisse Deos existimo. Nam apud homines universos hoc primum lege receptum est, Deos colere. Annon et parentes honore prosequi, ubique locorum lege receptum est? Etiam hoc, ait. Annon et illud, quod neque liceret parentibus cum liberis, neque liberis cum parentibus miscere? Illa mihi lex, ait, mi Socrates, non jam amplius esse Dei videtur. Quamobrem? inquit. Quod animadverto, inquit, nonnullos eam violare. At enim, ait, etiam alia multa contra leges committunt. Verum qui leges a Diis positas violant, poenas dant, quas homo nulla ratione potest effugere, quemadmodum nonnulli leges latas ab hominibus transgredientes, quominus poenas dent, vel latendo vel

Digitized by Google

κην διδόναι, οἱ μὲν, λανθάνοντες, οἱ δὲ, βιάζόμενοι. Καὶ ποίαν, ἔφη, δίκην, ὦ Σώκρατες, οὐ δύνανται διαφεύγειν γονεῖς τε παισὶ καὶ παῖδες γονεῦσι μιγνύμενοι; Τὴν μεγίστην, νὴ Δί', ἔφη. τί γὰρ ἂν μεῖζον πάθοιεν ἄνθρωποι τεκνοποιούμενοι τοῦ κακῶς τεκνοποιεῖσθαι; Πῶς οὖν, ἔφη, κακῶς οὗτοι τεκνοποιοῦνται, οὕς γε οὐδὲν κωλύει ἀγαθοὺς αὐτοὺς ὄντας ἐξ ἀγαθῶν παιδοποιεῖσθαι; Ὅτι, νὴ Δί', ἔφη, οὐ μόνον ἀγαθοὺς δεῖ τοὺς ἐξ ἀλλήλων παιδοποιουμένους εἶναι, ἀλλὰ καὶ ἀκμάζοντας τοῖς σώμασιν. ἢ δοκεῖ σοι ὅμοια τὰ σπέρματα εἶναι τὰ τῶν ἀκμαζόντων τοῖς τῶν μήπω ἀκμαζόντων ἢ τῶν παρηκμακότων; Ἀλλὰ, μὰ Δί', ἔφη, οὐκ εἰκὸς

vim adhibendo effugiunt. Et qualem, inquit, poenam effugere, mi Socrates, non possunt tum parentes, si cum liberis; tum liberi, si cum parentibus misceantur? Maximam profecto, ait. Quid enim *malorum* hominibus liberos procreantibus accidere majus possit, quam si male procreent? Quo vero pacto, inquit, male procreant hi, quos nihil vetat bonos ipsos ex bonis liberos sibi suscipere? Quia non tantum, ait, bonos esse necesse est, qui ex se invicem procreant; sed etiam corporibus vegetis. Num tibi videntur semina illorum, qui aetate sunt vegeta, seminibus eorum esse similia, qui ad aetatem vegetam necdum accesserunt, vel jam praetergressi sunt eam? Nequaquam, ait, esse

Digitized by Google

ὅμοια εἶναι. Πότερα οὖν, ἔφη, βελτίω; Δῆλον ὅτι, ἔφη, τὰ τῶν ἀκμαζόντων. Τὰ τῶν μὴ ἀκμαζόντων ἄρα οὐ σπουδαῖα; Οὐκ εἰκὸς, μὰ Δί', ἔφη. Οὐκοῦν οὕτω γε οὐ δεῖ παιδοποιεῖσθαι; Οὐ γὰρ οὖν, ἔφη. Οὐκοῦν οἵ γε οὕτω παιδοποιούμενοι, ὡς οὐ δεῖ, παιδοποιοῦνται; Ἔμοιγε δοκεῖ, ἔφη. Τίνες οὖν ἄλλοι, ἔφη, κακῶς ἂν παιδοποιοῖντο, εἴγε μὴ οὗτοι; Ὁμογνωμονῶ σοι, ἔφη, καὶ τοῦτο.

Τί δέ; τοὺς εὖ ποιοῦντας ἀντευεργετεῖν οὐ πανταχοῦ νόμιμόν ἐστι; Νόμιμόν, ἔφη. Παραβαίνεται δὲ καὶ τοῦτο. οὐκοῦν καὶ οἱ τοῦτο παραβαίνοντες δίκην διδόασι, φίλων μὲν ἀγαθῶν ἔρημοι γιγνόμενοι, τοὺς δὲ

similia videntur. Utra igitur sunt meliora? Patet, inquit, illorum meliora esse, qui sint aetate vegeta. Ergo illorum, qui hac aetate non sunt, semina minime probantur. Non consentaneum est, inquit. Isto igitur modo prolem non oportet procreare. Nequaquam, ait. Qui igitur prolem procreant isto modo, prolem, non ut oportet, procreant. Mihi quidem videtur, ait. Quinam igitur alii male procreent, si non hi? Sentio, ait, tecum, etiam quoad hoc.

Quid autem? benefacientibus vicissim benefacere, annon ubique legibus sancitum est? Est, inquit. Et haec etiam *lex* violatur. Quo fit ut et *illi* qui hanc violant, poenas dent, ab amicis bonis deserti, et coacti eos quaerere quibus odio sunt.

Digitized by Google

μισοῦντας ἑαυτοὺς ἀναγκαζόμενοι διώκειν. ἢ οὐχ οἱ μὲν εὖ ποιοῦντες τοὺς χρωμένους ἑαυτοῖς ἀγαθοὶ φίλοι εἰσὶν, οἱ δὲ μὴ ἀντευεργετοῦντες τοὺς τοιούτους, διὰ μὲν τὴν ἀχαριστίαν μισοῦνται ὑπ' αὐτῶν, διὰ δὲ τὸ μάλιστα λυσιτελεῖν τοῖς τοιούτοις χρῆσθαι, τούτους μάλιστα διώκουσι; Νὴ τὸν Δία, ὦ Σώκρατες, ἔφη, θείοις ταῦτα πάντα ἔοικε· τὸ γὰρ τοὺς νόμους αὐτοὺς τοῖς παραβαίνουσι τὰς τιμωρίας ἔχειν βελτίονος, ἢ κατ' ἄνθρωπον, νομοθέτου δοκεῖ μοι εἶναι. Πότερον οὖν, ὦ Ἱππία, τοὺς θεοὺς ἡγῇ τὰ δίκαια νομοθετεῖν, ἢ ἄλλα τῶν δικαίων; Οὐκ ἄλλα, μὰ Δί', ἔφη. σχολῇ γὰρ ἂν ἄλλος γέ τις τὰ δίκαια νομοθετήσειεν εἰ μὴ θεός. Καὶ τοῖς θεοῖς

Annon qui benefaciunt illis qui ipsorum opera utuntur, amici boni sunt: at qui vicissim illis bene non faciunt, licet ob ingratitudinem suam eis odio sint, tamen, quod horum opera imprimis sibi utilis sit, eosdem studiose quaeritant? Profecto, inquit, mi Socrates, haec omnia divina esse videntur. Nam leges ipsas continere illorum poenas qui eas violant, id mihi cujusdam esse praestantioris legislatoris videtur, quam humani. Num igitur existimas, mi Hippia, Deos justa praescribere legibus, an vero a justis aliena? Minime aliena, inquit: nec enim facile quis alius, praeter Deum, justa

Digitized by Google

ἄρα, ὦ Ἱππία, τὸ αὐτὸ δίκαιόν τε καὶ νόμιμον εἶναι ἀρέσκει. Τοιαῦτα λέγων τε καὶ πράττων δικαιοτέρους ἐποίει τοὺς πλησιάζοντας.

ε'. Ὡς δὲ καὶ πρακτικωτέρους ἐποίει τοὺς συνόντας ἑαυτῷ, νῦν αὖ τοῦτο λέξω. νομίζων γὰρ ἐγκράτειαν ὑπάρχειν ἀγαθὸν εἶναι τῷ μέλλοντι καλόν τι πράξειν, πρῶτον μὲν αὐτὸς φανερὸς ἦν τοῖς συνοῦσιν ἡσυχῇ αὐτὸν μάλιστα πάντων ἀνθρώπων· ἔπειτα διαλεγόμενος προετρέπετο πάντων μάλιστα τοὺς συνόντας πρὸς ἐγκράτειαν. ἀεὶ μὲν οὖν τῶν πρὸς ἀρετὴν χρησίμων αὐτός τε διετέλει μεμνημένος, καὶ τοὺς συνόντας πάντας ὑπομιμνήσκων.

---

sancire potest. Ergo etiam Diis, mi Hippia, placet idem et justum esse et legitimum. Hujusmodi quum et diceret et e consilio ageret, reddebat illos, qui conveniebant ipsum, justiores.

5. Caeterum, quo pacto familiares suos magis ad agendum idoneos efficiebat, nunc dicam. Nam quum existimaret temperantiam esse bonum ei, qui praeclarum aliquid gesturus esset; primum ipse familiaribus suis hominum omnium maxime in hoc exercitatus apparebat: deinde disserendo omnium maxime familiares suos ad temperantiam impellebat. Itaque semper et ipse meminerat illorum, quae ad virtutem conducerent, et familiares suos omnes commonefaciebat.

Digitized by Google

Οἶδα δέ ποτε αὐτὸν καὶ πρὸς Εὐθύδημον περὶ ἐγκρατείας τοιάδε διαλεχθέντα· Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ἆρα καλὸν καὶ μεγαλεῖον νομίζεις εἶναι καὶ ἀνδρὶ καὶ πόλει κτῆμα ἐλευθερίαν; Ὡς οἷόν τέ γε μάλιστα, ἔφη. Ὅστις οὖν ἄρχεται ὑπὸ τῶν διὰ τοῦ σώματος ἡδονῶν, καὶ διὰ ταύτας μὴ δύναται πράττειν τὰ βέλτιστα, νομίζεις τοῦτον ἐλεύθερον εἶναι; Ἥκιστα, ἔφη. Ἴσως γὰρ ἐλεύθερον φαίνεταί σοι τὸ πρᾶττειν τὰ βέλτιστα. εἶτα τὸ ἔχειν τοὺς κωλύσοντας τὰ τοιαῦτα ποιεῖν, ἀνελεύθερον νομίζεις; Παντάπασί γε, ἔφη. Παντάπασιν ἄρα σοι δοκοῦσιν οἱ ἀκρατεῖς ἀνελεύθεροι εἶναι; Νὴ τὸν Δί', ἔφη, εἰκότως. Πότερον δέ σοι δοκοῦσιν οἱ ἀκρα-

---

Scio ipsum aliquando ad Euthydemum de temperantia hujusmodi quaedam disseruisse: Dic mihi, Euthydeme, ait, num pulchram et magnificam tum viro tum civitati possessionem esse putas libertatem? Maximam, inquit. Qui ergo a corporeis voluptatibus vincitur; ac per has, quae optima sunt, e consilio agere nequit; eumne tu hominem esse liberum putas? Minime, ait. Fortassis enim hoc tibi videtur esse liberale, e consilio agere nimirum optima. Ergo quosdam habere qui vetent quo minus facias talia, putas esse illiberale? Omnino, ait. Igitur intemperantes tibi omnino esse videntur illiberales? Profecto, inquit, et merito. U-

Digitized by Google

τεῖς κωλύεσθαι μόνον τὰ κάλλιστα πράττειν, ἢ καὶ ἀναγκάζεσθαι τὰ αἴσχιστα ποιεῖν; Οὐδὲν ἧττον ἔμοιγ', ἔφη, δοκοῦσι ταῦτα ἀναγκάζεσθαι, ἢ ἐκεῖνα κωλύεσθαι. Ποίους δέ τινας δεσπότας ἡγῇ τοὺς τὰ μὲν ἄριστα κωλύοντας, τὰ δὲ κάκιστα ἀναγκάζοντας; Ὡς δυνατὸν νὴ Δί', ἔφη, κακίστους. Δουλείαν δὲ ποίαν κακίστην νομίζεις εἶναι; Ἐγὼ μέν, ἔφη, τὴν παρὰ τοῖς κακίστοις δεσπόταις. Τὴν κακίστην ἄρα δουλείαν οἱ ἀκρατεῖς δουλεύουσιν; Ἔμοιγε δοκεῖ, ἔφη.

Σοφίαν δὲ τὸ μέγιστον ἀγαθὸν οὐ δοκεῖ σοι ἀπείργουσα τῶν ἀνθρώπων ἡ ἀκρασία εἰς τοὐναντίον αὐτοὺς ἐμβάλλειν; ἢ οὐ δοκεῖ σοι προσέχειν τε τοῖς ὠφελοῦσι καὶ καταμαν-

---

trum vero tibi videntur intemperantes tantum impediri, quo minus pulcherrima e consilio agant, an etiam cogi ad efficiendum turpissima? Nihilo mihi minus, inquit, ad haec cogi videntur, quam in illis impediri. At quales illos esse putas dominos, qui optima quidem impediunt, ad pessima vero cogunt? Longissime pessimos, ait. Et quam esse pessimam servitutem arbitraris? Eam, ait, quae apud pessimos dominos serviatur. Ergone intemperantes servitutem pessimam serviunt? Ita mihi videtur, inquit.

Annon sapientiam, Bonum maximum, ab hominibus arcere videtur tibi intemperantia, et in contrarium eos conjicere?

Digitized by Google

θάνειν αὐτὰ κωλύειν ἀφέλκουσα ἐπὶ τὰ ἡδέα, καὶ πολλάκις αἰσθανομένους τῶν ἀγαθῶν τε καὶ τῶν κακῶν ἐκπλήξασα ποιεῖν τὸ χεῖρον ἀντὶ τοῦ βελτίονος αἱρεῖσθαι; Γίγνεται τοῦτο, ἔφη. Σωφροσύνην δὲ, ὦ Εὐθύδημε, τίνι ἂν φαίημεν ἧττον ἢ τῷ ἀκρατεῖ προσήκειν; αὐτὰ γὰρ δήπου τὰ ἐναντία σωφροσύνης καὶ ἀκρασίας ἔργα ἐστίν. Ὁμολογῶ καὶ τοῦτο, ἔφη. Τοῦ δ' ἐπιμελεῖσθαι, ὧν προσήκει, οἴει τι κωλυτικώτερον ἀκρασίας εἶναι; Οὔκουν ἔγωγε, ἔφη. Τοῦ δὲ ἀντὶ τῶν ὠφελούντων τὰ βλάπτοντα προαιρεῖσθαι ποιοῦντος, καὶ τούτων μὲν ἐπιμελεῖσθαι, ἐπείνων δὲ ἀμελεῖν πείθοντος, καὶ τοῖς σωφρονοῦσι τὰ ἐναντία ποιεῖν ἀναγκάζοντος, οἴει τι ἀνθρώπῳ κάκιον

Non videtur tibi prohibere, quo minus aliquis rebus ex usu futuris attendat, easque discat; dum pertrahit nos ad res voluptuarias, ac saepe bona malaque sentientes percellens facit, ut pejus melioris loco eligamus? Fit hoc, inquit. Atque animi sanitatem, mi Euthydeme, cui minus convenire dicemus quam intemperanti? Nam sanitatis animi ac intemperantiae opera certe sibimet contraria sunt. Id etiam fateor, ait. Putasne quid a studio eorum, quae conveniunt, magis prohibere, quam intemperantiam? Minime, inquit. An quid homini putas esse nocentius, quam id, quod efficit, ut noxia praeferat utilibus; ac illis quidem operam impendere, haec vero negligere suadeat; denique cogat illis

Digitized by Google

εἶναι; Οὐδὲν, ἔφη. Οὐκοῦν τὴν ἐγκράτειαν τῶν ἐναντίων ἢ τὴν ἀκρασίαν εἰκὸς τοῖς ἀνθρώποις αἰτίαν εἶναι; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν καὶ τὸ τῶν ἐναντίων αἴτιον εἰκὸς ἄριστον εἶναι; Εἰκὸς γὰρ, ἔφη. Ἔοικεν ἄρα, ἔφη, ὦ Εὐθύδημε, ἄριστον ἀνθρώπῳ ἡ ἐγκράτεια εἶναι. Εἰκότως γὰρ, ἔφη, ὦ Σώκρατες.

Ἐκεῖνο δὲ, ὦ Εὐθύδημε, ἦδη ποτὲ ἐνεθυμήθης; Ποῖον; ἔφη. Ὅτι καὶ ἐπὶ τὰ ἡδέα, ἐφ' ἅπερ μόνα δοκεῖ ἡ ἀκρασία τοὺς ἀνθρώπους ἄγειν, αὐτὴ μὲν οὐ δύναται ἄγειν· ἡ δ' ἐγκράτεια πάντων μάλιστα ἥδεσθαι ποιεῖ. Πῶς; ἔφη. Ὥσπερ ἡ μὲν ἀκρασία, οὐκ ἐῶσα καρτερεῖν οὔτε λιμὸν οὔτε

---

nos contraria facere, quae solent animo sano usi? Nihil, ait. Ergo temperantiam consentaneum est hominibus esse causam contrariorum, quam intemperantiam? Omnino, ait. Igitur etiam causam hanc contrariorum consentaneum est optimam esse? Consentaneum, inquit. Ergo videtur, mi Euthydeme, temperantia quiddam esse homini optimum. Et merito quidem, ait, o Socrates.

Illud autem, mi Euthydeme, considerastine unquam? Qualenam? inquit. Quod ad voluptates, ad quas quidem solas nos ducere videtur intemperantia, minime illa possit perducere: sed quod temperantia longe maxima voluptatis sit causa. Quo modo, ait? Hoc fere modo. Intemperantia non

Digitized by Google

δίψος οὔτε ἀφροδισίων ἐπιθυμίαν οὔτε ἀγρυπνίαν, (δι' ἃν μόνων ἐστὶν ἡδέως μὲν φαγεῖν τε καὶ πιεῖν καὶ ἀφροδισιάσαι, ἡδέως δ' ἀναπαύσασθαί τε καὶ κοιμηθῆναι, καὶ περιμείναντας καὶ ἀνασχομένους ἕως ἂν ταῦτα ὡς ἥδιστα γένηται,) κωλύει τοῖς ἀναγκαιοτάτοις τε καὶ συνεχεστάτοις ἀξιολόγως ἥδεσθαι· ἡ δ' ἐγκράτεια, μόνη τοιοῦσα καρτερεῖν τὰ εἰρημένα, μόνη καὶ ἥδεσθαι ποιεῖ ἀξίως μνήμης ἐπὶ τοῖς εἰρημένοις. Παντάπασιν, ἔφη, ἀληθῆ λέγεις. Ἀλλὰ μὴν τοῦ μαθεῖν τι καλὸν καὶ ἀγαθὸν, καὶ τοῦ ἐπιμεληθῆναι τῶν τοιούτων τινὸς, δι' ἃν ἄν τις καὶ τὸ ἑαυτοῦ σῶμα καλῶς διοικήσειε, καὶ τὸν ἑαυτοῦ οἶκον καλῶς οἰκονομήσειε, καὶ φίλοις καὶ

---

ferens, ut tolerentur fames, sitis, rei venereae cupiditas, vigiliae, (per quae sola suaviter comedere, bibere, venerem exercere possumus; suaviter quiescere ac dormire, expectantes ac sustinentes, donec illa quam jucundissime fiant) quominus maxime necessariis et continuis voluptatibus digne fruamur, impedit: temperantia vero, dum sola facit, ut quae diximus, toleremus; etiam sola voluptatem memoratu dignam excitat in iis, quae recensuimus. Omnino vera dicis, ait. Quinetiam a disciplina rerum honestarum et egregiarum, et a studio eorum impedit, quibus quis recte corpus suum regat, et familiam recte administret, et amicis patriaeque prosit, et

Digitized by Google

πόλει ὠφέλιμος γένοιτο, καὶ ἐχθρῶν κρατήσειεν, ἀφ' ὧν οὐ μόνον ὠφέλειαι, ἀλλὰ καὶ ἡδοναὶ μέγισται γίγνονται, οἱ μὲν ἐγκρατεῖς ἀπολαύουσι πράττοντες αὐτὰ, οἱ δὲ ἀκρατεῖς οὐδενὸς μετέχουσι· τῷ γὰρ ἂν ἧττον φήσαιμεν τῶν τοιούτων προσήκειν, ἢ ᾧ ἥκιστα ἔξεστι ταῦτα πράττειν, κατεχομένῳ ἐπὶ τῷ σπουδάζειν περὶ τὰς ἐγγυτάτω ἡδονάς; Καὶ ὁ Εὐθύδημος, Δοκεῖς μοι, ἔφη, ὦ Σώκρατες, λέγειν, ὡς ἀνδρὶ ἥττονι τῶν διὰ τοῦ σώματος ἡδονῶν πάμπαν οὐδεμιᾶς ἀρετῆς προσήκει. Τί γὰρ διαφέρει, ἔφη, ὦ Εὐθύδημε, ἄνθρωπος ἀκρατὴς θηρίου τοῦ ἀμαθεστάτου; ὅστις γὰρ τὰ μὲν πράτιστα μὴ σκοπεῖ, τὰ ἥδιστα

---

hostes superet, de quibus maximae non utilitates modo, sed etiam voluptates existunt. Ex his enim fructum percipiunt temperantes, dum ea faciunt; quum intemperantes nullius horum participes fiant. Nam cui dicere possimus haec minus convenire, quam cui minime licet haec e consilio agere, occupato quaerendis gnaviter voluptatibus maxime obviis? Tum Euthydemus, dicere mihi, ait, videris, mi Socrates, homini, qui a corporeis voluptatibus vincitur, nullam omnino virtutem convenire. Nam quid interest, mi Euthydeme, inquit, inter hominem intemperantem et rudissimam belluam? Nam qui non considerat optima, et omnino facere quaerit ea, quae

Digitized by Google

δ' ἐκ παντὸς τρόπου ζητεῖ ποιεῖν, τί ἂν διαφέροι τῶν ἀφρονεστάτων βοσκημάτων; Ἀλλὰ τοῖς ἐγκρατέσι μόνοις ἔξεστι σκοπεῖν τὰ κράτιστα τῶν πραγμάτων, καὶ, λόγῳ καὶ ἔργῳ διαλέγοντας κατὰ γένη, τὰ μὲν ἀγαθὰ προαιρεῖσθαι, τῶν δὲ κακῶν ἀπέχεσθαι.

Καὶ οὕτως ἔφη ἀρίστους τε καὶ εὐδαιμονεστάτους ἄνδρας γίγνεσθαι, καὶ διαλέγεσθαι δυνατωτάτους. ἔφη δὲ καὶ τὸ διαλέγεσθαι ὀνομασθῆναι ἐκ τοῦ συνιόντας κοινῇ βουλεύεσθαι, διαλέγοντας κατὰ γένη τὰ πράγματα. δεῖν οὖν πειρᾶσθαι ὅτι μάλιστα πρὸς τοῦτο ἑαυτὸν ἕτοιμον παρασκευάζειν, καὶ τούτου μάλιστα ἐπιμελεῖσθαι· ἐκ τούτου

---

jucundissima sunt, quid ille differat ab imprudentissimis pecudibus? Soli temperantes res optimas considerare possunt, easque tum verbis tum reipsa secundum genera secernere, ac bonas quidem eligere, a malis autem abstinere.

Atque hoc modo dicebat viros praestantissimos ac felicissimos effici, maximeque ad disserendum idoneos. Aiebat etiam "διαλέγεσθαι" ex eo dictum esse, quod convenientes communiter consultent, dum res secundum genera discernunt. Itaque enitendum esse, ut ad hoc se quam paratissimum quisque reddat, eique rei maxime studeat. Nam ex eo fieri homines praestantissimos, et imperio dig-

Digitized by Google

γὰρ γίγνεσθαι ἄνδρας ἀρίστους τε καὶ ἡγεμονικωτάτους καὶ διαλεκτικωτάτους.

5'. Ὡς δὲ καὶ διαλεκτικωτέρους ἐποίει τοὺς συνόντας, πειράσομαι καὶ τοῦτο λέγειν. Σωκράτης γὰρ τοὺς μὲν εἰδότας, τί ἕκαστον εἴη τῶν ὄντων, ἐνόμιζε καὶ τοῖς ἄλλοις ἂν ἐξηγεῖσθαι δύνασθαι· τοὺς δὲ μὴ εἰδότας, οὐδὲν ἔφη θαυμαστὸν εἶναι, αὐτούς τε σφάλλεσθαι καὶ ἄλλους σφάλλειν. ὧν ἕνεκα σκοπῶν σὺν τοῖς συνοῦσι, τί ἕκαστον εἴη τῶν ὄντων, οὐδεπώποτ' ἔληγε. πάντα μὲν οὖν, ἢ διωρίζετο, πολὺ ἔργον ἂν εἴη διεξελθεῖν· ἐν ὅσοις δὲ καὶ τὸν τρόπον τῆς ἐπισκέψεως δηλώσειν οἶμαι, τοσαῦτα λέξω.

Πρῶτον δὲ περὶ εὐσεβείας ὧδέ πως ἐσκόπει·

---

nissimos, et disserendi peritissimos.

6. Quo quidem modo familiares suos etiam disserendi peritiores effecerit, etiam hoc exponere conabor. Etenim putabat Socrates, eos, qui scirent quid essent res singulae, posse aliis etiam eas explicare: qui vero nescirent, ipsos et falli et alios quoque fallere, non mirum esse dicebat. Ideoque nunquam suis cum familiaribus considerare desinebat, quid res quaelibet esset. Omnia quomodo definiret, operosum fuerit percensere: quae modum considerationis hujus indicatura puto, illa dicam.

Primum de pietate hoc fere modo considerabat: Dic mihi, mi Euthydeme, inquit, quale

Digitized by Google

Εἰπέ μοι, ἔφη, ὦ Εὐθύδημε, ποῖόν τι νομίζεις εὐσέβειαν εἶναι; Καὶ ὅς, Κάλλιστον νὴ Δί', ἔφη. Ἔχεις οὖν εἰπεῖν, ὁποῖός τις ὁ εὐσεβής ἐστιν; Ἐμοὶ μὲν δοκεῖ, ἔφη, ὁ τοὺς θεοὺς τιμῶν. Ἔξεστι δὲ, ὃν ἄν τις βούληται τρόπον, τοὺς θεοὺς τιμᾶν; Οὔκ· ἀλλὰ νόμοι εἰσὶ, καθ' οὓς δεῖ τοῦτο ποιεῖν. Οὐκοῦν ὁ τοὺς νόμους τούτους εἰδὼς, εἰδείη ἂν, ὡς δεῖ, τοὺς θεοὺς τιμᾶν; Οἶμαι ἔγωγ', ἔφη. Ἆρ' οὖν ὁ εἰδὼς τοὺς θεοὺς τιμᾶν, οὐκ ἄλλως οἴεται δεῖν τοῦτο ποιεῖν, ἢ ὡς οἶδεν; Οὐ γὰρ οὖν, ἔφη. Ἄλλως δέ τις θεοὺς τιμᾷ, ἢ ὡς νόμος ἐστὶ δεῖν; Οὐκ οἶμαι, ἔφη. Ὁ ἄρα τὰ περὶ τοὺς θεοὺς νόμιμα εἰδὼς, νομίμως ἂν τοὺς θεοὺς τιμῴη; Πάνυ μὲν οὖν. Οὐκοῦν ὅ

---

quiddam esse putas pietatem? Et ille, Pulcherrimum profecto, ait. Potesne igitur dicere, qualis sit homo pius? Is, ait, mihi videtur, qui Deos honore afficit. Licetne vero Deos eo modo honorare, quo quisque vult? Non; sed leges quaedam sunt, secundum quas id faciendum est. Ergo qui leges has novit, is sciret, quo pacto Dii sint honorandi? Arbitror, ait. Ergo qui Deos novit honorare, non aliter id faciendum putat, quam uti scit? Non aliter, inquit. Estne vero quisquam qui Deos honoret aliter, quam putet oportere? Non arbitror, ait. Ergo qui novit ea quae legitima sunt erga Deos, is legitime Deos honorat. Omnino, ait.

Digitized by Google

γε νομίμως τιμῶν, ὡς δεῖ τιμᾷ; Πῶς γὰρ οὔ; Ὁ δέ γε ὡς δεῖ τιμῶν, εὐσεβής ἐστι; Πάνυ μὲν οὖν, ἔφη. Ὁ ἄρα τὰ περὶ τοὺς θεοὺς νόμιμα εἰδὼς, ὀρθῶς ἂν ἡμῖν εὐσεβὴς ὡρισμένος εἴη. Ἐμοὶ γοῦν, ἔφη, δοκεῖ.

Ἀνθρώποις δὲ ἆρα ἔξεστιν, ὃν ἄν τις τρόπον βούληται, χρῆσθαι; Οὔκ· ἀλλὰ καὶ περὶ τούτους ὁ εἰδὼς ἃ ἐστι νόμιμα, καθ' ἃ δεῖ πως ἀλλήλοις χρῆσθαι, νόμιμος ἂν εἴη. Οὐκοῦν οἱ κατὰ ταῦτα χρώμενοι ἀλλήλοις, ὡς δεῖ, χρῶνται; Πῶς γὰρ οὔ; Οὐκοῦν οἵ γε, ὡς δεῖ, χρώμενοι, καλῶς χρῶνται; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν οἵ γε τοῖς ἀνθρώποις καλῶς χρώμενοι, καλῶς πράττουσι τἀνθρώπεια πράγματα; Εἰκός γ', ἔφη. Οὐκοῦν οἱ τοῖς νόμοις πειθόμενοι, δίκαια οὗτοι ποιοῦσι; Πά-

Qui igitur legitime ipsos honorat, is honorat, ut oportet? Qui non? Qui vero sic, ut oportet, honorat, an pius est? Omnino, inquit. Ergo qui legitima novit erga Deos, eum recte pium definiverimus. Ita mihi videtur, ait.

An vero licet hominibus sic uti, quemadmodum aliquis vult? Non: sed apud hos etiam qui novit legitima, secundum quae alios aliis uti decet, legitimus esset. Ergo qui secundum haec se invicem utuntur, ut decet, utuntur? Qui non? Num vero qui utuntur, ut decet, recte utuntur? Omnino, ait. Ergo qui recte utuntur hominibus, illi etiam res humanas recte agunt? Consentaneum, inquit. Num qui

Digitized by Google

νυ μὲν οὖν, ἔφη. Δίκαια δὲ οἶσθα, ἔφη, ὁποῖα καλεῖται; Ἃ οἱ νόμοι κελεύουσιν, ἔφη. Οἱ ἄρα ποιοῦντες ἃ οἱ νόμοι κελεύουσι, δίκαιά τε ποιοῦσι καὶ ἃ δεῖ; Πῶς γὰρ οὔ; Οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες, δίκαιοί εἰσιν; Οἶμαι ἔγωγ', ἔφη. Οἴει οὖν τινας πείθεσθαι τοῖς νόμοις, μὴ εἰδότας ἃ οἱ νόμοι κελεύουσιν; Οὐκ ἔγωγ', ἔφη. Εἰδότας δὲ ἃ δεῖ ποιεῖν οἴει τινὰς οἴεσθαι δεῖν μὴ ποιεῖν ταῦτα; Οὐκ οἶμαι, ἔφη. Οἶδας δέ τινας ἄλλα ποιοῦντας, ἢ ἃ οἴονται δεῖν; Οὐκ ἔγωγ', ἔφη. Οἱ ἄρα τὰ περὶ τοὺς ἀνθρώπους νόμιμα εἰδότες, τὰ δίκαια οὗτοι ποιοῦσι; Πάνυ μὲν οὖν, ἔφη. Οὐκοῦν οἵ γε τὰ δίκαια ποιοῦντες, δίκαιοί εἰσι; Τίνες γὰρ

---

legibus parent, justa faciunt? Omnino, inquit. Scis autem qualianam justa dicantur? Quae leges jubent, ait. Ergo qui ea faciunt, quae leges jubent, tum justa faciunt, tum quae fieri debent? Qui non? An vero justi sunt, qui justa faciunt? Arbitror equidem, ait. Ergone putas legibus aliquos parere, qui nesciunt quae leges jubent? Non equidem, ait. At qui sciunt quid faciendum sit, eosne putas arbitrari, faciendum id non esse? Non puto, ait. An aliquos nosti, qui alia faciunt, quam quae fieri debere putant? Minime, inquit. Ergo qui sciunt quae legitima sunt erga homines, justa faciunt? Omnino, ait. Qui igitur justa faciunt, justi

Digitized by Google

ἄλλοι; ἔφη. Ὀρθῶς ἄν ποτε ἄρα ὁριζοίμεθα, ὁριζόμενοι δικαίους εἶναι τοὺς εἰδότας τὰ περὶ ἀνθρώπους νόμιμα; Ἔμοιγε δοκεῖ, ἔφη.

Σοφίαν δὲ τί ἂν φήσαιμεν εἶναι; εἰπέ μοι, πότερά σοι δοκοῦσιν οἱ σοφοὶ, ἃ ἐπίστανται, ταῦτα σοφοὶ εἶναι, ἢ εἰσί τινες, ἃ μὴ ἐπίστανται, σοφοί; Ἃ ἐπίστανται δῆλον ὅτι, ἔφη. πῶς γὰρ ἄν τις, ἃ γε μὴ ἐπίσταιτο, ταῦτα σοφὸς εἴη; Ἆρ' οὖν οἱ σοφοὶ ἐπιστήμῃ σοφοί εἰσι; Τίνι γὰρ, ἔφη, ἄλλῳ τις ἂν εἴη σοφὸς, εἰ γε μὴ ἐπιστήμῃ; Ἄλλο δέ τι σοφίαν οἴει εἶναι, ἢ ᾧ σοφοί εἰσιν; Οὐκ ἔγωγε. Ἐπιστήμη ἄρα σοφία ἐστίν; Ἔμοιγε δοκεῖ. Ἆρ' οὖν δοκεῖ σοι ἀνθρώπῳ δυνατὸν εἶναι τὰ ὄντα πάντα ἐπίστασθαι; Οὐδὲ, μὰ Δί, ἔμοιγε

---

sunt? Qui tandem alii? ait. Ergo recte definiamus, si eos esse justos definiverimus, qui sciunt quae legitima sint erga homines? Sic mihi videtur, ait.

Quid vero dicere possimus sapientiam esse? Dic mihi; utrum tibi sapientes, in iis rebus, quae norunt, sapientes esse videantur; an aliqui sint in iis sapientes, quae nesciunt? Nimirum in illis sapientes sunt, quae sciunt. Nam qui possit aliquis esse sapiens in illis, quae nescit? Num igitur sapientes, scientia sunt sapientes? Quanam alia re sapiens aliquis fuerit, si non scientia? Num vero putas quiddam aliud esse sapientiam, quam quo homines sapientes sunt? Non equidem. Ergo sapientia est scientia? Mihi quidem videtur. Ergone

Digitized by Google

πόλλοστὸν μέρος αὐτῶν. Πάντα μὲν ἄρα σοφὸν οὐχ οἷόν τε ἄνθρωπον εἶναι; Μὰ Δί' οὐ δῆτα, ἔφη. Ὃ ἄρα ἐπίσταται ἕκαστος, τοῦτο καὶ σοφός ἐστιν; Ἔμοιγε δοκεῖ.

Ἆρ' οὖν, ὦ Εὐθύδημε, καὶ τἀγαθὸν οὕτω ζητητέον ἐστί; Πῶς; ἔφη. Δοκεῖ σοι τὸ αὐτὸ πᾶσιν ὠφέλιμον εἶναι; Οὐκ ἔμοιγε. Τί δέ; τὸ ἄλλῳ ὠφέλιμον οὐ δοκεῖ σοι ἐνίοτε ἄλλῳ βλαβερὸν εἶναι; Καὶ μάλα, ἔφη. Ἄλλο δ' ἄν τι φαίης ἀγαθὸν εἶναι, ἢ τὸ ὠφέλιμον; Οὐκ ἔγωγ', ἔφη. Τὸ ἄρα ὠφέλιμον ἀγαθόν ἐστιν, ὅτῳ ἂν ὠφέλιμον ᾖ; Δοκεῖ μοι, ἔφη.

Τὸ δὲ καλὸν ἔχοιμεν ἄν πως ἄλλως εἰπεῖν,

---

tibi videtur, hominem res omnes scire posse? Imo nec partem profecto rerum millesimam. Homo igitur in omnibus nequit esse sapiens? Minime profecto, ait. Ergo in eo quisque est sapiens, quod scit? Mihi quidem videtur.

Num et de bono, Euthydeme, sic quaerendum erit? Quomodo? ait. Num idem tibi videtur omnibus *hominibus* esse utile? Non mihi quibem. Quid? An quod utile est alteri, non tibi videtur esse nonnunquam alteri noxium? Omnino, ait. Num quid aliud potes dicere bonum esse, quam id, quod est utile? Non equidem, ait. Ergo quod est utile, bonum est illi, cui utile fuerit? Ita mihi videtur, inquit.

An vero pulchrum alio quodam modo appellare possimus, quam aut pulchrum corpus, aut vas, aut aliud quiddam:

Digitized by Google

ἢ, εἰ ἔστιν, ὀνομάζεις καλὸν ἢ σῶμα ἢ σκεῦος ἢ ἄλλ' ὁτιοῦν, ὃ οἶσθα πρὸς πάντα καλὸν ὄν; Μὰ Δί' οὐκ ἔγωγ', ἔφη. Ἆρ' οὖν, πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ, πρὸς τοῦτο ἑκάστῳ καλῶς ἔχει χρῆσθαι; Πάνυ μὲν οὖν, ἔφη. Καλὸν δὲ πρὸς ἄλλο τί ἐστιν ἕκαστον, ἢ πρὸς ὃ ἑκάστῳ καλῶς ἔχει χρῆσθαι; Οὐδὲ πρὸς ἓν ἄλλο, ἔφη. Τὸ χρήσιμον ἄρα καλόν ἐστι, πρὸς ὃ ἂν ᾖ χρήσιμον; Ἔμοιγε δοκεῖ, ἔφη.

Ἀνδρίαν δὲ, ὦ Εὐθύδημε, ἆρα τῶν καλῶν νομίζεις εἶναι; Κάλλιστον μὲν οὖν ἔγωγ', ἔφη. Χρήσιμον ἄρα οὐ πρὸς τὰ ἐλάχιστα νομίζεις τὴν ἀνδρίαν; Μὰ Δί', ἔφη, πρὸς τὰ μέγιστα μὲν οὖν. Ἆρ' οὖν δοκεῖ σοι

---

an tibi licet nominare, quod scis ad omnia pulchrum esse? Non equidem profecto, inquit. Ergo ad quod utile quidque fuerit, ad id cuique pulchrum est eo uti? Omnino, ait. Num autem quaevis res ad aliud quiddam pulchra est, quam cujus usui singula pulchre applicentur? Ad nihil aliud, inquit. Ergo quod est utile, pulchrum est ad quodcunque utile fuerit? Ita mihi videtur, inquit.

Fortitudinem vero, mi Euthydeme, num inter pulchra esse censes? Imo pulcherrimum quid, ait. Ergo tu fortitudinem non ad minima utilem esse statuis? Certe, inquit, ad maxima. Num igitur tibi utile esse ad terribilia et periculosa videtur, ea ipsa ignorare? Minime, inquit. Ergo

Digitized by Google

πρὸς τὰ δεινά τε καὶ ἐπικίνδυνα χρήσιμον εἶναι τὸ ἀγνοεῖν αὐτά; Ἥκιστά γ', ἔφη. Οἱ ἄρα μὴ φοβούμενοι τὰ τοιαῦτα διὰ τὸ μὴ εἰδέναι τί ἐστιν, οὐκ ἀνδρεῖοί εἰσι; Νὴ Δί', ἔφη. πολλοὶ γὰρ ἂν οὕτω γε τῶν τε μαινομένων καὶ τῶν δειλῶν ἀνδρεῖοι εἶεν. Τί δέ; οἱ καὶ τὰ μὴ δεινὰ δεδοικότες; Ἔτι γε, νὴ Δία, ἧττον, ἔφη, Ἆρ' οὖν τοὺς μὲν ἀγαθοὺς πρὸς τὰ δεινὰ καὶ ἐπικίνδυνα ὄντας, ἀνδρείους ἡγῇ εἶναι, τοὺς δὲ κακοὺς, δειλούς; Πάνυ μὲν οὖν, ἔφη. Ἀγαθοὺς δὲ πρὸς τὰ τοιαῦτα νομίζεις ἄλλους τινὰς, ἢ τοὺς δυναμένους αὐτοῖς καλῶς χρῆσθαι; Οὐκ, ἀλλὰ τούτους, ἔφη. Κακοὺς δὲ ἄρα τοὺς οἵους τούτοις κακῶς χρῆσθαι; Τίνας γὰρ ἄλλους;

---

qui ejusmodi non metuunt, propterea quod nesciant quid sint, non sunt fortes? Non profecto, inquit: nam cæteroqui multi homines animo insani et timidi, fortes essent. Quid autem illi, qui non terribilia metuunt? Multo minus, inquit. Qui ergo boni sunt ad terribilia et periculosa, hos fortes esse putas; qui vero mali, timidos? Omnino, inquit. An vero putas ad talia quosdam alios etiam bonos esse, quam qui eis uti recte possint? Non, ait, sed hos ipsos. Malos autem, qui his male utantur? Quosnam alios? inquit. Ergone utuntur singuli, ut oportere se arbitrantur? Qui aliter? inquit. Sciuntne qui non possunt recte uti, quo pacto u-

Digitized by Google

ἔφη. Ἆρ' οὖν ἅπαντες χρῶνται, ὡς οἴονται δεῖν; Πῶς γὰρ ἄλλως; ἔφη. Ἆρα οὖν οἱ μὴ δυνάμενοι καλῶς χρῆσθαι, ἴσασιν ὡς δεῖ χρῆσθαι; Οὐ δήπου γε, ἔφη. Οἱ ἄρα εἰδότες ὡς δεῖ χρῆσθαι, οὗτοι καὶ δύνανται; Μόνοι γε, ἔφη. Τί δέ; οἱ μὴ διημαρτηκότες ἆρα καλῶς χρῶνται τοῖς τοιούτοις; Οὐκ οἶμαι, ἔφη. Οἱ ἄρα καλῶς χρώμενοι διημαρτήκασιν; Εἰκός γε, ἔφη. Οἱ μὲν ἄρα ἐπιστάμενοι τοῖς δεινοῖς τε καὶ ἐπικινδύνοις καλῶς χρῆσθαι, ἀνδρεῖοί εἰσιν, οἱ δὲ διαμαρτάνοντες τούτου, δειλοί; Ἔμοιγε δοκοῦσιν, ἔφη.

Βασιλείαν δὲ καὶ τυραννίδα ἀρχὰς μὲν ἀμφοτέρας ἡγεῖτο εἶναι, διαφέρειν δὲ ἀλλήλων ἐνόμιζε. τὴν μὲν γὰρ, ἑκόντων τε τῶν ἀν-

---

tendum sit? Nequaquam, inquit. Igitur qui norunt ut sit utendum, illi etiam possunt? Imo soli, inquit. Quid? Siqui non aberraverunt ab eorum usu; num male his utuntur? Non arbitror, inquit. Ergo qui male utuntur, aberrant? Consentaneum, ait. Qui igitur terribilibus et periculosis recte uti sciunt, sunt fortes; qui vero ab hoc aberrant, timidi sunt? Mihi quidem videntur, inquit.

Et regnum etiam et tyrannidem, utrumque judicabat esse quidem imperium, verum inter se differre statuebat. Nam regnum esse putabat, in homines volentes secundum

θρώπων καὶ κατὰ νόμους τῶν πόλεων ἀρχὴν βασιλείαν ἡγεῖτο· τὴν δὲ ἀκόντων τε καὶ μὴ κατὰ νόμους, ἀλλ' ὅπως ὁ ἄρχων βούλοιτο, τυραννίδα. καὶ ὅπου μὲν ἐκ τῶν τὰ νόμιμα ἐπιτελούντων αἱ ἀρχαὶ καθίστανται, ταύτην τὴν πολιτείαν ἀριστοκρατίαν ἐνόμιζεν εἶναι· ὅπου δ' ἐκ τιμημάτων, πλουτοκρατίαν· ὅπου δ' ἐκ πάντων, δημοκρατίαν.

Εἰ δέ τις αὐτῷ περί του ἀντιλέγοι, μηδὲν ἔχων σαφὲς λέγειν, ἀλλ' ἄνευ ἀποδείξεως ἤτοι σοφώτερον φάσκων εἶναι, ὃν αὐτὸς λέγοι, ἢ πολιτικώτερον, ἢ ἀνδρειότερον, ἢ ἄλλο τι τῶν τοιούτων, ἐπὶ τὴν ὑπόθεσιν ἐπανῆγεν ἂν πάντα τὸν λόγον ὧδέ πως· Φῂς σὺ ἀμείνω πολίτην εἶναι, ὃν σὺ ἐπαινεῖς, ἢ ὃν ἐγώ; Φη-

civitatum leges imperium; at in homines nolentes, nec secundum leges, sed ex arbitrio principis imperium esse tyrannidem. Atque ubi magistratus ex iis constituerentur, qui legitima perficiunt, eam reipublicae formam existimabat esse, in qua Optimates dominantur; ubi ex censibus, locupletum imperium; ubi ex universis, statum popularem.

Quod si quis ipsi aliqua in re contradiceret, qui nihil certi, quod diceret, haberet; ac sine demonstratione, vel sapientiorem esse praedicaret illum, cujus ipse mentionem faceret, vel civilis administrationis peritiorem, vel fortiorem, vel quid aliud ejusmodi; hoc fere modo, orationem omnem ad rem propositam reducebat. Tune civem esse meliorem ais,

Digitized by Google

μὶ γὰρ οὖν. Τί οὖν; οὐκ ἐκεῖνο πρῶτον ἐπεσκεψόμεθα, τί ἐστὶν ἔργον ἀγαθοῦ πολίτου; Ποιῶμεν τοῦτο. Οὐκοῦν ἐν μὲν χρημάτων διοικήσει κρατοίη ἂν ὁ χρήμασιν εὐπορωτέραν τὴν πόλιν ποιῶν; Πάνυ μὲν οὖν, ἔφη. Ἐν δέ γε πολέμῳ, ὁ καθυπερτέραν τῶν ἀντιπάλων; Πῶς γὰρ οὔ; Ἐν δὲ πρεσβείᾳ, ἆρα ὃς ἂν φίλους ἀντὶ πολεμίων παρασκευάζῃ; Εἰκότως γε. Οὐκοῦν καὶ ἐν δημηγορίᾳ, ὁ στάσεις τε παύων καὶ ὁμόνοιαν ἐμποιῶν; Ἔμοιγε δοκεῖ. Οὕτω δὲ τῶν λόγων ἐπαναγομένων, καὶ τοῖς ἀντιλέγουσιν αὐτοῖς φανερὸν ἐγίγνετο τἀληθές.

Ὁπότε δὲ αὐτός τι τῷ λόγῳ διεξίοι, διὰ τῶν μάλιστα ὁμολογουμένων ἐπορεύετο, νομί-

---

quem ipse praedicas, quam quem ego? Aio. Quid ergo? annon id primum considerabimus, quodnam boni civis sit officium? Faciamus id sane. Ergo in opum administratione potior illius erit ratio, qui civitatem opulentiorem reddit? Omnino, ait. At in bello, qui hostium victricem efficit? Qui non? At in legatione, qui amicos ex hostibus efficit? Merito. Ergo etiam in concionibus ad plebem, qui seditiones compescuerit, et auctor concordiae fuerit? Ita mihi videtur. Hoc modo quum sermo reduceretur, etiam illis ipsis, qui contradicebant, veritas elucescebat.

Et quum ipse aliquid oratione percurrebat, per ea progrediebatur, quae maxime essent in confesso; quod esse

ζων ταύτην τὴν ἀσφάλειαν εἶναι λόγου. τοιγαροῦν πολὺ μάλιστα, ὧν ἐγὼ οἶδα, ὅτε λέγοι, τοὺς ἀκούοντας ὁμολογοῦντας παρεῖχε. ἔφη δὲ, καὶ Ὅμηρον τῷ Ὀδυσσεῖ ἀναθεῖναι τὸ ἀσφαλῆ ῥήτορα εἶναι, ὡς ἱκανὸν αὐτὸν ὄντα διὰ τῶν δοκούντων τοῖς ἀνθρώποις ἄγειν τοὺς λόγους.

ζ'. Ὅτι μὲν οὖν ἁπλῶς τὴν ἑαυτοῦ γνώμην ἀπεφαίνετο Σωκράτης πρὸς τοὺς ὁμιλοῦντας αὐτῷ, δοκεῖ μοι δῆλον ἐκ τῶν εἰρημένων εἶναι· ὅτι δὲ καὶ αὐτάρκεις ἐν ταῖς προσηκούσαις πράξεσιν αὐτοὺς εἶναι ἐπεμελεῖτο, νῦν τοῦτο λέξω. πάντων μὲν γὰρ, ὧν ἐγὼ οἶδα, μάλιστα ἔμελεν αὐτῷ εἰδέναι, ὅτου τις ἐπιστήμων εἴη τῶν συνόντων αὐτῷ. ὧν δὲ προσήκει ἀνδρὶ

---

hanc orationis certitudinem arbitraretur. Itaque quum aliquid dicebat, longe omnium maxime, quos ego novi, auditores suos, ut idem faterentur, adducebat. Aiebat et Homerum id Ulyssi tribuisse, "quod esset orator certus:" quia per ea quae hominibus viderentur, orationes suas deducere posset.

7. Itaque perspicuum esse, ex iis quae diximus, arbitror, Socratem ad eos, qui ejus consuetudine usi sunt, sententiam suam simpliciter protulisse. Quod etiam operam dederit, ut ipsi in agendis iis, quae sibi convenirent, satis essent idonei; id nunc exponam. Etenim maxime *Socrati* omnium, quos equidem novi, curae erat, ut sciret, qua scientia suorum

Digitized by Google

καλῷ κἀγαθῷ εἰδέναι, ὅ, τι μὲν αὐτὸς εἰδείη, πάντων προθυμότατα ἐδίδασκεν· ὅτου δὲ αὐτὸς ἀπειρότερος εἴη, πρὸς τοὺς ἐπιστημένους ἦγεν αὐτούς.

Ἐδίδασκε δὲ καὶ μέχρι ὅτου δέοι ἔμπειρον εἶναι· ἑκάστου πράγματος τὸν ὀρθῶς πεπαιδευμένον. αὐτίκα, γεωμετρίαν μέχρι μὲν τούτου ἔφη δεῖν μανθάνειν, ἕως ἱκανός τις γένοιτο, εἴ ποτε δεήσειε, γῆν μέτρῳ ὀρθῶς ἢ παραλαβεῖν ἢ παραδοῦναι ἢ διανεῖμαι ἢ ἔργον ἀποδείξασθαι. οὕτω δὲ τοῦτο ῥᾴδιον εἶναι μαθεῖν, ὥστε τὸν προσέχοντα τὸν νοῦν τῇ μετρήσει, ἅμα τήν τε γῆν ὁπόση ἐστὶν εἰδέναι, καὶ ὡς μετρεῖται ἐπιστάμενον ἀπιέναι. Τὸ δὲ μέχρι τῶν δυσχυήτων διαγραμμάτων γεω-

familiarium quisque polleret in iis, quae virum pulchri bonique studiosum scire conveniret. Quod ipse cognovit, summa cum alacritate edocebat: qua vero in re ipse minus esset peritus, ad peritos eos deducebat.

Edocebat etiam, quousque hominem recte institutum cujusque rei peritum esse conveniat. Exempli gratia, geometriam eo usque discendam aiebat, donec quis posset, si aliquando opus fuerit, terram vel recta metiendi ratione accipere, vel tradere, vel distribuere, vel opus designare. Atque hoc tam facile disci posse, ut qui mentem ad dimensionem advertat, is et scire possit, quanta sit ipsa terra, et cognita me-

Digitized by Google

μετρίαν μανθάνειν ἀπεδοκίμαζεν. ὅ, τι μὲν γὰρ ὠφελοίη ταῦτα, οὐκ ἔφη ὁρᾶν· καίτοι οὐκ ἄπειρός γε αὐτῶν ἦν· ἔφη δὲ ταῦτα ἱκανὰ εἶναι ἀνθρώπου βίον κατατρίβειν, καὶ ἄλλων πολλῶν τε καὶ ὠφελίμων μαθημάτων ἀποκωλύειν.

Ἐκέλευε δὲ καὶ ἀστρολογίας ἐμπείρους γίγνεσθαι, καὶ ταύτης μέντοι μέχρι τοῦ νυκτός τε ὥραν καὶ μηνὸς καὶ ἐνιαυτοῦ δύνασθαι γιγνώσκειν, ἕνεκα πορείας τε καὶ πλοῦ καὶ φυλακῆς· καὶ ὅσα ἄλλα ἢ νυκτὸς ἢ μηνὸς ἢ ἐνιαυτοῦ πράττεται, πρὸς ταῦτ' ἔχειν τεκμηρίοις χρῆσθαι, τὰς ὥρας τῶν εἰρημένων διαγιγνώσκοντας. καὶ ταῦτα δὲ ῥᾴδια εἶναι μαθεῖν παρά τε τῶν νυκτοσκόπων καὶ κυβερνη-

---

tiendi ratione discedat. Verum in geometria discenda progressum ad descriptiones usque intellectu difficiles, improbabat. Nec enim, quid eae res usus haberent, videre se dicebat; (licet illarum minime rudis esset) haec vero sufficere ad vitam hominis consumendam aiebat, ac ab aliis multis utilibusque disciplinis *eum* arcere.

Et jubebat, ut etiam Astronomiae adeo periti fierent, ut et noctis et mensis et anni tempora cognoscere possent, tum itineris ac navigationis causa, tum excubiarum, aliarumque rerum, quaecunque vel per noctem, vel in mense, vel in anno geruntur; út ad ea certis indiciis uti possent, quibus illorum, quae diximus, tempora dignoscerent. Atque haec discì facile ab iis posse, qui noctu

τῶν καὶ ἄλλων πολλῶν, οἷς ἐπιμελὲς ταῦτα εἰδέναι. Τὸ δὲ μέχρι τούτου ἀστρονομίαν μανθάνειν, μέχρι τοῦ καὶ τὰ μὴ ἐν τῇ αὐτῇ περιφορᾷ ὄντα, καὶ τοὺς πλάνητάς τε καὶ ἀσταθμήτους ἀστέρας γνῶναι, καὶ τὰς ἀποστάσεις αὐτῶν ἀπὸ τῆς γῆς καὶ τὰς περιόδους καὶ τὰς αἰτίας αὐτῶν ζητοῦντας κατατρίβεσθαι, ἰσχυρῶς ἀπέτρεπεν. ὠφέλειαν μὲν γὰρ οὐδεμίαν οὐδ' ἐν τούτοις ἔφη ὁρᾶν· καίτοι οὐδὲ τούτων γε ἀνήκοος ἦν· ἔφη δὲ καὶ ταῦτα ἱκανὰ εἶναι κατατρίβειν ἀνθρώπου βίον, καὶ πολλῶν καὶ ὠφελίμων ἀποκωλύειν.

Ὅλως δὲ τῶν οὐρανίων, ᾗ ἕκαστα ὁ θεὸς μηχανᾶται, φροντιστὴν γίγνεσθαι ἀπέτρεπεν. οὔτε γὰρ εὑρετὰ ἀνθρώποις αὐτὰ ἐνόμιζεν εἶ-

---

feras venantur, et a navium gubernatoribus, aliisque multis, quibus est curae, ut haec sciant. At vero in astronomia discenda eo progredi, donec et illa cognoscantur, quae in eodem non sunt ambitu, et planetae et errantia sidera, et ipsorum a terra intervalla, et circuitus; eorumque causas inquirendo confici, vehementer dehortabatur. Quippe nec in his quidem ullam se utilitatem videre dicebat, (quanquam eorum rudis non esset:) aiebat vero, etiam haec sufficere ad vitam hominis consumendam, et a multis ac utilibus eum arcere.

Atque in universum dehortabatur, ne quis studium in res coelestes impenderet, quo scilicet artificio Deus omnia moliatur. Nec enim illa posse ab

νας, οὔτε χαρίζεσθαι θεοῖς ἂν ἡγεῖτο τὸν ζητοῦντα, ἃ ἐκεῖνοι σαφηνίσαι οὐκ ἐβουλήθησαν. κινδυνεῦσαι δ' ἂν ἔφη καὶ παραφρονῆσαι τὸν ταῦτα μεριμνῶντα, οὐδὲν ἧττον ἢ Ἀναξαγόρας παρεφρόνησεν, ὁ μέγιστον φρονήσας ἐπὶ τῷ τὰς τῶν θεῶν μηχανὰς ἐξηγεῖσθαι. Ἐκεῖνος γὰρ λέγων μὲν τὸ αὐτὸ εἶναι πῦρ τε καὶ ἥλιον, ἠγνόει ὡς τὸ μὲν πῦρ οἱ ἄνθρωποι ῥᾳδίως καθορῶσιν, εἰς δὲ τὸν ἥλιον οὐ δύνανται ἀντιβλέπειν· καὶ ὑπὸ μὲν τοῦ ἡλίου καταλαμπόμενοι τὰ χρώματα μελάντερα ἔχουσιν, ὑπὸ δὲ τοῦ πυρὸς οὔ. ἠγνόει δὲ ὅτι καὶ τῶν ἐκ τῆς γῆς φυομένων ἄνευ μὲν ἡλίου αὐγῆς οὐδὲν δύναται καλῶς αὔξεσθαι, ὑπὸ δὲ τοῦ πυρὸς θερμαινόμενα πάντα ἀπόλλυται.

---

hominibus inveniri putabat, nec Diis eum rem facere gratam arbitrabatur, qui quae illi manifesta esse noluissent, inquireret. Addebat esse periculum, ne qui de hisce solicitus esset, deliraret nihilo minus quam deliravit Anaxagoras, qui animo maxime fuit elato, propterea quod Deorum machinas enarrasset. Nimirum ille, dum ait ignem ac solem idem esse, ignorabat ab hominibus ignem cerni facile posse, quum solem adversum intueri non possint: quodque illi, qui a sole collustrantur, colore reddantur nigriores; qui vero ab igne, non ita. Ignorabat etiam, quod nihil eorum, quae terra nascuntur, absque solis splendore possit augescere; quum

Digitized by Google

φάσκων δὲ τὸν ἥλιον λίθον διάπυρον εἶναι, καὶ τοῦτο ἠγνόει, ὅτι λίθος μὲν ἐν πυρὶ ὢν οὔτε λάμπει, οὔτε πολὺν χρόνον ἀντέχει· ὁ δὲ ἥλιος τὸν πάντα χρόνον πάντων λαμπρότατος ὢν διαμένει.

Ἐκέλευε δὲ καὶ λογισμοὺς μανθάνειν· καὶ τούτων δὲ ὁμοίως τοῖς ἄλλοις ἐκέλευε φυλάττεσθαι τὴν μάταιον πραγματείαν· μέχρι δὲ τοῦ ὠφελίμου πάντα καὶ αὐτὸς συνεπεσκόπει καὶ συνδιεξήει τοῖς συνοῦσι.

Προέτρεπε δὲ σφόδρα καὶ ὑγιείας ἐπιμελεῖσθαι τοὺς συνόντας, παρά τε τῶν εἰδότων μανθάνοντας ὅσα ἐνδέχοιτο, καὶ ἑαυτῷ ἕκαστον προσέχοντα διὰ παντὸς τοῦ βίου, τί βρῶμα ἢ τί πόμα ἢ ποῖος πόνος συμφέροι αὐτῷ, καὶ πῶς τούτοις χρώμενος ὑγιεινότατ' ἂν διά-

omnia, quae ab igne calefiunt, pereant. Idem quum solem esse lapidem ignitum diceret, etiam ignorabat, lapidem, qui sit in igne, neque lucere, neque diu perdurare; quum sol per omne tempus splendidior rebus omnibus manet.

Et jubebat, ut etiam numerandi rationem discerent, et in hac perinde atque in aliis monebat, ut ab inani occupatione sibi caverent; atque tum ipse omnia eatenus pervestigabat, quatenus essent utilia, tum una cum familiaribus perquirebat.

Et vehementer familiares suos hortabatur, ut etiam valetudinis curam haberent, discentes a peritis, quae possent; ac ut *eorum* unusquisque per omnem vitam seipsum animadverteret, quinam cibus, qui

γοι. τοῦ γὰρ οὕτω προσέχοντος ἑαυτῷ ἔργον ἔφη εἶναι εὑρεῖν ἰατρὸν τὰ πρὸς ὑγίειαν συμφέροντα αὐτῷ μᾶλλον διαγιγνώσκοντα ἑαυτοῦ.

Εἰ δέ τις μᾶλλον ἢ κατὰ τὴν ἀνθρωπίνην σοφίαν ὠφελεῖσθαι βούλοιτο, συνεβούλευε μαντικῆς ἐπιμελεῖσθαι. τὸν γὰρ εἰδότα, δι' ὧν οἱ θεοὶ τοῖς ἀνθρώποις περὶ τῶν πραγμάτων σημαίνουσιν, οὐδέποτ' ἔρημον ἔφη γίγνεσθαι συμβουλῆς θεῶν.

ἡ. Εἰ δέ τις, ὅτι, φάσκοντος αὐτοῦ τὸ δαιμόνιον ἑαυτῷ προσημαίνειν ἅ τε δέοι καὶ ἃ μὴ δέοι ποιεῖν, ὑπὸ τῶν δικαστῶν κατεγνώσθη θάνατος, οἴεται αὐτὸν ἐλέγχεσθαι περὶ τοῦ δαιμονίου ψευδόμενον, ἐννοησάτω

potus, qui labor ei conduceret, et quo pacto his utendo quam optima valetudine frui posset. Nam ei, qui ita se animadverteret, difficile aiebat esse, ut medicum inveniret, qui ad valetudinem conducentia magis seipso dijudicaret.

Si quis autem majora, quam pro sapientia humana, vellet assequi, consuluit ut divinationi operam daret. Etenim aiebat, eum qui sciret, quibus indiciis Dii hominibus aliquid de negotiis significent, nunquam a consilio divino destitutum fore.

8. Quod si quis ipsum mendacii de numine convictum fuisse propterea existimat, quod a Judicibus morte multatus sit, dicens numen sibi praesignificare, quae facienda essent, quae non; primum velim con-

Digitized by Google

πρῶτον μὲν, ὅτι οὕτως ἤδη τότε πόρρω τῆς ἡλικίας ἦν, ὥστ', εἰ καὶ μὴ τότε, οὐκ ἂν πολλῷ ὕστερον τελευτῆσαι τὸν βίον· εἶτα, ὅτι τὸ μὲν ἀχθεινότατον τοῦ βίου, καὶ ἐν ᾧ πάντες την διάνοιαν μειοῦνται, ἀπέλειπεν· ἀντὶ δὲ τούτου, τῆς ψυχῆς τὴν ῥώμην ἐπιδειξάμενος, εὔκλειαν προσεκτήσατο, τήν τε δίκην πάντων ἀνθρώπων ἀληθέστατα καὶ ἐλευθεριώτατα καὶ δικαιότατα εἰπὼν, καὶ τὴν κατάγνωσιν τοῦ θανάτου πραότατα καὶ ἀνδρωδέστατα ἐνεγκών. Ὁμολογεῖται γὰρ, οὐδένα πω τῶν μνημονευομένων ἀνθρώπων κάλλιον θάνατον ἐνεγκεῖν. ἀνάγκη μὲν γὰρ ἐγένετο αὐτῷ μετὰ τὴν κρίσιν τριάκοντα ἡμέρας βιῶναι διὰ τὸ Δήλια μὲν ἐκείνου τοῦ μηνὸς εἶναι,

sideret, illum jam tum eo aetatis provectum fuisse, ut si non id temporis, certe non multo post vita excessurus fuerit: deinde quod partem vitae molestissimam, et in qua omnibus sit mentis quaedam imminutio, reliquerit: ac illius loco demonstrata fortitudine animae gloriam consecutus sit, quum quidem causam suam supra omnes homines longe verissime, ac imprimis ingenue justissimeque dixisset, et condemnationem ad mortem mitissime maximeque viriliter tulisset. Etenim in confesso est, neminem hominum unquam, de quibus nos acceperimus, mortem pertulisse praeclarius. Nam cogebatur a condemnatione dies adhuc triginta vivere, quod in illo mense Delia essent, ac lex vetaret

τὸν δὲ νόμον μηδένα ἐᾷν δημοσίᾳ ἀποθνήσκειν, ἕως ἂν ἡ θεωρία ἐκ Δήλου ἐπανέλθῃ. καὶ τὸν χρόνον τοῦτον ἅπασι τοῖς συνήθεσι φανερὸς ἐγένετο οὐδὲν ἀλλοιότερον διαβιοὺς ἢ τὸν ἔμπροσθεν χρόνον· καίτοι τῶν ἔμπροσθέν γε πάντων ἀνθρώπων μάλιστα ἐθαυμάζετο ἐπὶ τῷ εὐθύμως τε καὶ εὐκόλως ζῆν.

Καὶ πῶς ἄν τις κάλλιον ἢ οὕτως ἀποθάνοι; ἢ ποῖος ἂν εἴη θάνατος καλλίων ἢ ὃν ἂν κάλλιστά τις ἀποθάνοι; ποῖος δ' ἂν γένοιτο θάνατος εὐδαιμονέστερος τοῦ καλλίστου; ἢ ποῖος θεοφιλέστερος τοῦ εὐδαιμονεστάτου;

Λέξω δὲ καὶ ἃ Ἑρμογένους τοῦ Ἱππονίκου ἤκουσα περὶ αὐτοῦ. ἔφη γάρ, ἤδη Μελίτου γεγραμμένου αὐτὸν τὴν γραφήν, αὐτὸς

quenquam publice prius interfici, quam Theororum coetus ex Delo rediisset. Et hoc durante tempore, familiaribus ipsius universis compertum fuit, nihil de vivendi ratione pristina immutasse, quamvis profecto maximae admirationi erat supra superiorum temporum homines universos, quod magna cum animi tranquillitate facilitateque viveret.

Et qui possit aliquis honestius quam sic mori? Quae mors esse possit pulchrior, quam quae ab aliquo pulcherrime obitur? quae mors possit esse felicior, quam quae pulcherrima sit? quae Diis acceptior, quam felicissima?

Dicam et quae ex Hermogene, Hipponici filio, de ipso accepi. Nam aiebat, se, ubi audivisset illum a Melito jam

Digitized by Google

ἀκούων αὐτοῦ πάντα μᾶλλον ἢ περὶ τῆς δίκης διαλεγομένου, λέγειν αὐτῷ, ὡς χρὴ σκοπεῖν ὅ, τι ἀπολογήσεται. τὸν δὲ τὸ μὲν πρῶτον εἰπεῖν· Οὐ γὰρ δοκῶ σοι τοῦτο μελετᾶν διαβεβιωκέναι; Ἐπεὶ δὲ αὐτὸν ἤρετο, ὅπως; εἰπεῖν αὐτὸν, ὅτι οὐδὲν ἄλλο τοιῶν διαγεγένηται, ἢ διασκοπῶν μὲν τά τε δίκαια καὶ τὰ ἄδικα, πράττων δὲ τὰ δίκαια καὶ τῶν ἀδίκων ἀπεχόμενος· ἥπερ νομίζοι καλλίστην μελέτην ἀπολογίας εἶναι. Αὐτὸς δὲ πάλιν εἰπεῖν, Οὐχ ὁρᾷς, ὦ Σώκρατες, ὅτι οἱ Ἀθήνησι δικασταὶ πολλοὺς μὲν ἤδη μηδὲν ἀδικοῦντας, λόγῳ ἀχθεσθέντες, ἀπέκτειναν, πολλοὺς δὲ ἀδικοῦντας ἀπέλυσαν; Ἀλλὰ νὴ τὸν Δία, φάναι αὐτὸν, ὦ Ἑρμόγενες, ἤδη μοῦ

---

accusatum, de rebus omnibus potius disserere quam de sua causa, monuisse, quod considerandum ipsi esset, quidnam sui defendendi causa proferret. Illum primo respondisse; Annon tibi videor in hac meditatione pervixisse? Ipso vero quaerente, Quo pacto? dixisse illum, nihil aliud perpetuo se fecisse, quam justa injustaque considerasse, justa quidem e consilio agentem, ab injustis vero abstinentem; quam esse meditationem defendendi sui pulcherrimam duceret. Tum rursus dixisse: Non vides, mi Socrates, quod Judices Athenis multos, qui nihil injuste perpetrassent, duntaxat oratione offensi interfecerint; multosque sceleruin reos absolve-

Digitized by Google

ἐπιχειροῦντος φροντίσαι τῆς πρὸς τοὺς δικαστὰς ἀπολογίας, ἠναντιώθη τὸ δαιμόνιον. Καὶ αὐτὸς εἶπεν, Θαυμαστὰ λέγεις. τὸν δὲ, Θαυμάζεις, φάναι, εἰ τῷ θεῷ δοκεῖ βέλτιον εἶναι, ἐμὲ τελευτᾶν τὸν βίον ἤδη; οὐκ οἶσθ' ὅτι μέχρι μὲν τοῦδε τοῦ χρόνου ἐγὼ οὐδενὶ ἀνθρώπων ὑφείμην ἄν, οὔτε βέλτιον οὔθ' ἥδιον ἐμοῦ βεβιωκέναι; ἄριστα μὲν γὰρ οἶμαι ζῆν τοὺς ἄριστα ἐπιμελομένους τοῦ ὡς βελτίστους γίγνεσθαι, ἥδιστα δὲ τοὺς μάλιστα αἰσθανομένους ὅτι βελτίους γίγνονται. Ἃ ἐγὼ μέχρι τοῦδε τοῦ χρόνου ἠσθανόμην ἐμαυτῷ συμβαίνοντα, καὶ ταῖς ἄλλοις ἀνθρώποις ἐντυγχάνων, καὶ πρὸς τοὺς ἄλλους παραθεωρῶν ἐμαυτὸν, οὕτω διατετέλεκα περὶ ἐμαυτοῦ

rint? At profecto, respondisse illum, quum modo conarer, nisi Hermogenes, meditari defensionem ad Judices, Numen adversatum est mihi. Tum se dixisse: Mira refers. Illum autem, Miraris, subjecisse, Deo videri potius esse, hoc me tempore vivendi finem facere? An nescis me ad hoc usque tempus nemini hominum concessisse, quod vel melius vel jucundius me vixisset? nam optime quidem arbitror illos vivere, qui maxime dant operam, ut quam optimi fiant; jucundissime vero, qui maxime fieri se meliores sentiunt. Quae ego hactenus evenire mihi animadverti; ac partim alios homines conveniens, partim meipsum ad alios collatum inspiciens, sic de me semper statui. Neque tantum ego,

γιγνώσκειν, καὶ οὐ μόνον ἐγὼ, ἀλλὰ καὶ οἱ ἐμοὶ φίλοι οὕτως ἔχοντες γνώμης περὶ ἐμοῦ διατελοῦσιν· οὐ διὰ τὸ φιλεῖν ἐμὲ, καὶ γὰρ οἱ τοὺς ἄλλους φιλοῦντες οὕτως ἂν εἶχον πρὸς τοὺς ἑαυτῶν φίλους, ἀλλὰ διότερ καὶ αὐτοὶ ἂν οἴονται ἐμοὶ συνόντες βέλτιστοι γίγνεσθαι. Εἰ δὲ βιώσομαι πλείω χρόνον, ἴσως ἀναγκαῖον ἔσται τὰ τοῦ γήρως ἐπιτελεῖσθαι, καὶ ὁρᾶν τε καὶ ἀκούειν ἧττον, καὶ διανοεῖσθαι χεῖρον, καὶ δυσμαθέστερον καὶ ἐπιλησμονέστερον ἀποβαίνειν, καὶ, ὧν πρότερον βελτίων ἦν, τούτων χείρω γίγνεσθαι. ἀλλὰ μὴν ταῦτά γε μὴ αἰσθανομένῳ μὲν ἀβίωτος ἂν εἴη ὁ βίος, αἰσθανόμενον δὲ πῶς οὐκ ἀνάγκη χεῖρόν τε καὶ ἀηδέστερον ζῆν;

---

sed amici etiam mei de me constanter ita judicant; non quod me ament, (nam et qui alios amant, ita suos in amicos affecti essent) sed quod seipsos etiam ex consuetudine mea quam optimos existiment evadere. Quod si diutius vivam, fortasse necessarium erit ea confieri, quae in senectutem cadunt, et me minus audire, minus cernere, minus intelligentia valere, ineptiorem ad discendum reddi, magisque obliviosum, et in iis fieri deteriorem, in quibus antehac praestiterim. Atqui haec si quis non sentiat, esset illi ipsa vita minime vitalis: sin sentiat, qui fieri potest, ut non et pejus et injucundius vivat?

Digitized by Google

Ἀλλὰ μὴν εἴ γε ἀδίκως ἀποθανοῦμαι τοῖς μὲν ἀδίκως ἐμὲ ἀποκτείνασιν αἰσχρὸν ἂν εἴη τοῦτο. εἰ γὰρ τὸ ἀδικεῖν αἰσχρόν ἐστι, πῶς οὐκ αἰσχρὸν καὶ τὸ ἀδίκως ὁτιοῦν ποιεῖν; ἐμοὶ δὲ τί αἰσχρὸν, τὸ ἑτέρους μὴ δύνασθαι περὶ ἐμοῦ τὰ δίκαια μήτε γνῶναι μήτε ποιῆσαι; Ὁρῶ δ' ἔγωγε καὶ τὴν δόξαν τῶν προγεγονότων ἀνθρώπων ἐν τοῖς ἐπιγιγνομένοις οὐχ ὁμοίαν καταλειπομένην τῶν τε ἀδικησάντων καὶ τῶν ἀδικηθέντων. οἶδα δὲ ὅτι καὶ ἐγὼ ἐπιμελείας τεύξομαι ὑπ' ἀνθρώπων, καὶ, ἐὰν νῦν ἀποθάνω, οὐχ ὁμοίως τοῖς ἐμὲ ἀποκτείνασιν. οἶδα γὰρ ἀεὶ μαρτυρήσεσθαί μοι, ὅτι ἐγὼ ἠδίκησα μὲν οὐδένα πώποτε ἀνθρώπων οὐδὲ χείρω ἐποίησα, βελ-

Enimvero si interficiar injuste, turpitudo ea in auctores mortis meae redundabit. Nam si turpe sit afficere aliquem injuria, quomodo non turpe sit injuste quicquam facere? Qui vero mihi sit turpe, quod alii de me neque cognoscere neque facere ea possint, quae quidem justa sint? Video vero superiorum temporum homines, non eandem posteris opinionem de se reliquisse, et qui injuriam fecerunt, et quibus facta fuit injuria. Studia quoque hominum, tametsi jam neci tradar, erga me futura scio plane alia, quam erga interfectores meos. Semper enim testimonium mihi datum iri scio, quod nullum unquam hominum laeserim, neque deteriorem reddiderim; sed potius operam perpetuo dederim, ut familiares meos

Digitized by Google

τίους δὲ τοιοῦν ἐπειρώμην ἀεὶ τοὺς ἐμοὶ συνόντας. Τοιαῦτα μὲν πρὸς Ἑρμογένην τε διελέχθη, καὶ πρὸς τοὺς ἄλλους.

Τῶν δὲ Σωκράτην γιγνωσκόντων, οἷος ἦν, οἱ ἀρετῆς ἐφιέμενοι πάντες ἔτι καὶ νῦν διατελοῦσι πάντων μάλιστα ποθοῦντες ἐκεῖνον, ὡς ὠφελιμώτατον ὄντα πρὸς ἀρετῆς ἐπιμέλειαν. ἐμοὶ μὲν δή, τοιοῦτος ὢν οἷον ἐγὼ διήγημαι, εὐσεβὴς μὲν οὕτως ὥστε μηδὲν ἄνευ τῆς τῶν θεῶν γνώμης ποιεῖν, δίκαιος δὲ ὥστε βλάπτειν μὲν μηδὲ μικρὸν μηδένα, ὠφελεῖν δὲ τὰ μέγιστα τοὺς χρωμένους ἑαυτῷ, ἐγκρατὴς δὲ ὥστε μηδέποτε προαιρεῖσθαι τὸ ἥδιον ἀντὶ τοῦ βελτίονος, φρόνιμος δὲ ὥστε μὴ διαμαρτάνειν κρίνων τὰ βελτίω καὶ τὰ χείρω, μηδὲ ἄλλου

---

meliores efficerem. Hujusmodi tum ad Hermogenem, tum ad alios disseruit.

Quotquot autem ex iis, qui virtutis studiosi sunt, novere Socratem, etiam nunc eum cum maximo desiderio expetunt, ut qui ad virtutis studium utilissimus fuerit. Mihi quidem (quum talis esset, qualem commemoravi, nimirum adeo pius, ut sine Deorum consilio nihil faceret; adeo justus, ut nemini ne quidem exigua in re noceret, prodesset autem iis maxime, qui eo uterentur; adeo temperans, ut nunquam id, quod jucundius esset, meliori anteponeret; adeo prudens, ut in melioribus ac pejoribus dijudicandis non erraret, neque alterius ad hoc opera egeret, sed ipse sibi ad cognitionem horum sufficeret;

Digitized by Google

προσδεῖσθαι ἀλλ', αὐτάρκης εἶναι πρὸς τὴν τούτων γνῶσιν, ἱκανὸς δὲ καὶ λόγῳ εἰπεῖν τε καὶ διορίσασθαι τὰ τοιαῦτα, ἱκανὸς δὲ καὶ ἄλλους δοκιμάσαι τε καὶ ἁμαρτάνοντας ἐξελέγξαι καὶ προτρέψασθαι ἐπ' ἀρετὴν καὶ καλοκἀγαθίαν, ἐδόκει τοιοῦτος εἶναι, οἷος ἂν εἴη ἄριστός γε ἀνὴρ καὶ εὐδαιμονέστατος. εἰ δέ τῳ μὴ ἀρέσκει ταῦτα, παραβάλλων τὸ ἄλλου ἦθος πρὸς ταῦτα, οὕτω κρινέτω.

---

et oratione proferre ac definire hujusmodi posset, atque etiam alios explorare, delinquentes arguere, ad virtutem ac pulchri bonique studium hortari:) ejusmodi vir ese visus est, qualis esset optimus et felicissimus. Quod si haec alicui non probantur, comparatis alius cujuspiam ad haec moribus, ita deinde judicium faciat.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google


Digitized by Google

Digitized by Google